www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Iliados A

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Α ΤΟΥ ὉΜΗΡΟΥ ῬΑΨΩΙΔΙΑΣ.

Χρύσης ἱερεὺς Ἀπόλλωνος παραγίνεται ἐπὶ τὸν ναύσταθμον τῶν Ἑλλήνων, βουλόμενος λυτρώσασθαι τὴν θυγατέρα αὐτοῦ Χρυσηΐδα. οὐκ ἀπολαβὼν δὲ, ἀλλὰ καὶ μεθ᾽ ὕβρεως ἀποδιωχθεὶς ὑπὸ Ἀγαμέμνονος, ηὔξατο τῷ Ἀπόλλωνι κατὰ τῶν Ἑλλήνων. λοιμοῦ δὲ γενομένου, καὶ πολλῶν, ὡς εἰκὸς, διαφθειρομένων, ἐκκλησίαν Ἀχιλλεὺς συνήγαγε. Κάλχαντος δὲ διασαφήσαντος τὴν ἀληθῆ αἰτίαν, καὶ κελεύσαντος Ἀχιλλέως ἐξιλάσκεσθαι τὸν θεὸν, Ἀγαμέμνων ὀργισθεὶς, ἠνέχθη πρὸς τὸν Ἀχιλλέα, καὶ αὐτοῦ τὸ γέρας ἀπέσπασε τὴν Βρισηΐδα. ὁ δὲ ὀργίζεται τοῖς Ἕλλησι. Θέτις δὲ, τοῦ υἱοῦ δεηθέντος, εἰς Ὄλυμπον ἀνελθοῦσα, ᾐτήσατο παρὰ τοῦ Διὸς, ὅπως τοὺς Τρῶας ἐπικρατεστέρους τῶν Ἑλλήνων ποιήσῃ. Ἥρα δὲ τοῦτο γνοῦσα, διελέχθη πρὸς τὸν Δία. ἕως αὐτοὺς διέλυσεν Ἥφαιστος οἰνοχοήσας ἐκπώματι χρυσῷ. οἱ δὲ, τὸ λοιπὸν τῆς ἡμέρας εὐωχηθέντες, εἰς ὕπνον τρέπονται.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Α ΤΟΥ ὉΜΗΡΟΥ ῬΑΨΩΙΔΙΑΝ.

Μῆνιν.] ὀργὴν. χόλον ἐπίμονον. ζητεῖται δὲ εὐθὺς, διὰ τί ἀπὸ τῶν τελευταίων ἤρξατο τοῦ πολέμου ὁ Ποιητὴς, καί φαμεν. ὅτι ἅπας μὲν χρόνος ὁ πρὸ τοῦ δεκάτου ἔτους, οὐκ ἔσχεν οὕτω συνεχεῖς τὰς μάχας. διὰ τὸ, τοὺς Τρῶας φόβῳ τοῦ Ἀχιλλέως ἐντὸς κατακεκλεῖσθαι τοῦ τείχους. τὸ δὲ δέκατον ἔτος, πλείονας ἔσχε τὰς πράξεις, καὶ τοὺς πολέμους ἰσοπαλεῖς, τοῦ Ἀχιλλέως ὀργιζομένου. ὁ δὲ Ποιητὴς, οἰκονομικῶς ἐκ τούτου ἤρξατο μὲν ἀπὸ τῶν τελευταίων. διὰ δὲ τῆς σποράδην αὐτῷ λεχθέντων περιέλαβε καὶ τὰ πρὸ τούτων πραχθέντα. αὕτη γὰρ ἀρετὴ ποιήσεως, τὸ, ἀπὸ τῶν μέσων ἄρξασθαι. προϊόντα δὲ καὶ τὴν ἀρχὴν διηγεῖσθαι κατὰ μέρος. Ἄειδε.] ᾆδε. λέγε. Θεά.] κοινῷ μὲν ὀνόματι προσαγορεύει τὴν Μοῦσαν. τῇ δὲ ἰδιότητι τῆς πράξεως, προεδήλωσεν ὡς οὐχ ἑτέραν λέγει θεάν. μόναι γὰρ ᾄδουσιν αἱ μοῦσαι. οὐ προσέθηκε δὲ, οὐδὲ ὄνομα Μούσης, πάσας διὰ τῆς μιᾶς καλῶν. Θεά.] Μοῦσα. λέγει δὲ τὴν Καλλιόπην. Πηληϊάδεω.] τοῦ Πηλέως παιδός. Ἀχιλῆος.] ἀναγνωστέον δι᾽ ἑνὸς λ, διὰ τὸ μέτρον. λέγεται δὲ Ἀχιλλεὺς παρὰ τὸ ἄχος, τουτέστι λύπην ἐπενεγκεῖν τοῖς Ἰλιεῦσιν. οἱ δὲ, παρὰ τὸ μὴ θιγεῖν χείλεσι θηλῆς. ὅλως γὰρ οὐ μετέσχε γάλακτος. Οὐλομένην.] ὀλεθρίαν. Ἣ.] ἥτις ὀργή. Μυρία.] ἀορίστως, ἀντὶ τοῦ πολλά. Ἀχαιοῖς.] τοῖς Ἕλλησιν. Ξοῦθος ὁ Αἰόλου παῖς, ἀγόμενος Κρέουσαν τὴν Ἐρεχθέως θυγατέρα, ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ἴωνα καὶ Ἀχαιόν. ὧν ὁ μὲν Ἴων, ᾤκησεν Ἀθήνας. ὁ δὲ Ἀχαιὸς, φόνον ἐμφύλιον δράσας, παρεγένετο εἰς Θετταλίαν, καὶ κυριεύσας τῆς χώρας, τοὺς ὑποτεταγμένους ἀφ᾽ ἑαυτοῦ προσηγόρευσεν Ἀχαιούς. Ἕλληνες δὲ κοινῶς πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν, ἀπὸ Ἕλληνος τοῦ Διός. πρῶτοί τε οὕτως ἐλέγοντο οἱ ἐν Θετταλίᾳ ἄνθρωποι. οὐ μὴν ἅπαντες, ἀλλὰ μόνοι οἱ ἐν Ἑλλάδι τῇ πόλει. ἔπειτα μεγάλα δυνηθέντος τοῦ Ἕλληνος, καὶ τῶν τούτου παίδων, ἀπ᾽ αὐτοῦ πάντες ἐκλήθησαν Ἕλληνες. Ἄλγεα.] κακὰ, ἢ λύπας. Ἔθηκεν.] ἐποίησεν, εἰργάσατο. Πολλάς.] παμπόλλους. Ἰφθίμους.] ἰσχυρὰς. γενναίας. Ἄϊδι.] τῷ ᾅδῃ. ἀπὸ εὐθείας τῆς ἅϊς, ὡς Πάρις. Προΐαψε.] πρὸ τῆς εἱμαρμένης ἔπεμψεν. Ἡρώων.] τῶν ἡμιθέων ἀνδρῶν. ἥρωας δέ φασι κεκλῆσθαι, ἀπὸ τῆς ἀρετῆς. ἢ ἀπὸ τοῦ ἀέρος, ὥς φησιν Ἡσίοδος ἐν τοῖς ἔργοις καὶ ταῖς ἡμέραις. Ἠέρα ἑσσάμενοι πάντη φοιτῶσιν ἐπ᾽ αἶαν. ἢ ἀπὸ τῆς ἔρωτος. ἔστι μίξεως τῶν θεῶν. οἱ γὰρ θεοὶ, θνηταῖς γυναιξὶ συνερχόμενοι ἐποίουν τὸ τῶν ἡρώων γένος. ἢ ἀπὸ τῆς ἔρας. ἔρα δὲ ἡ γῆ, κατὰ διάλεκτον. ἐκ δὲ τῆς γῆς, ἐπλάσθη τὸ γένος τῶν ἀνθρώπων. Αὐτοὺς δέ.] ἀντὶ τοῦ, τὰ δὲ σώματα αὐτῶν. Ἑλώρια.] ἑλκύσματα, σπαράγματα. Τεῦχε.] ἐποίει. Κύνεσσι.] κυσὶν, Αἰολὶς ἡ διάλεκτος. Οἰωνοῖσι.] τοῖς σαρκοφάγοις ὄρνισι. λέγει δὲ γυψὶ καὶ κόραξιν. Πᾶσιν.] ἅπασιν. Διὸς δέ.] ἡ δὲ τοῦ Διός. Ἐτελείετο.] ἐτελειοῦτο. ἐπληροῦτο. Βουλή.] γνώμη. Διὸς δ᾽ ἐτελείετο βουλή.] Διὸς βουλὴν, οἱ μὲν τὴν εἱμαρμένην ἀπέδοσαν. ἄλλοι δὲ ἐξεδέξαντο, δρῦν ἱερὰν μαντικὴν τοῦ Διὸς ἐν Δωδωναίῳ ὄρει τῆς Θεσπρωτείας. ὡς αὐτὸς Ὅμηρος λέγει ἐν Ὀδυσσείᾳ. Τὸν δ᾽ ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο ἐκ δρυὸς ὑψικόμοιο, Διὸς βουλὴν ἐπακούσῃ. ἄλλοι δὲ ἀπὸ ἱστορίας τινὸς εἶπον εἰρηκέναι τὸν Ὅμηρον. φασὶ γὰρ τὴν γῆν βαρουμένην ὑπὸ ἀνθρώπων πολυπληθείας, μηδεμιᾶς ἀνθρώπων οὔσης εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τοῦ ἄχθους. τὸν δὲ Δία, πρῶτον μὲν εὐθὺς ποιῆσαι τὸν Θηβαϊκὸν πόλεμον, δι᾽ οὗ πολλοὺς πάνυ ἀπώλεσεν. ὕστερον δὲ πάλιν συμβούλῳ τῷ Μώμῳ ἐχρήσατο. ἣν Διὸς βουλὴν Ὅμηρός φησιν. ἐπειδὴ οἷός τε ἦν, κεραυνοῖς ἢ κατακλυσμοῖς πάντας διαφθεῖραι, τοῦτο τοῦ Μώμου κωλύσαντος, ὑποθεμένου δὲ αὐτῷ γνώμας δύο, τὴν Θέτιδος θνητογαμίαν, καὶ θυγατρὸς καλὴν γένναν, ἐξ ὧν ἀμφοτέρων πόλεμος Ἕλλησί τε καὶ Βαρβάροις ἐγένετο, οὕτω συμβῆναι κουφισθῆναι τὴν γῆν πολλῶν ἀναιρεθέντων. ἡ δὲ ἱστορία παρὰ Στασίμῳ τῷ τὰ κύπρια πεποιηκότι, εἰπόντι οὕτως.

# ΙΛΙΑΔΟΣ Α ὉΜΗΡΟΥ ῬΑΨΩΙΔΙΑΣ.

Ἄλφα λιτὰς Χρύσου, λοιμὸν στρατοῦ, ἔχθος ἀνάκτων.

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος  
οὐλομένην, ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκεν.  
πολλὰς δ᾽ ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν.  
Ἡρώων, αὐτοὺς δ᾽ ἑλώρια τεῦχε κύνεσσιν,  
οἰωνοῖσί τε πᾶσι, Διὸς δ᾽ ἐτελείετο βουλή.

Ἐξ οὗ

ἦν ὅτε μυρία φῦλα κατὰ χθόνα πλαζόμενα βαθυστέρνου πλάτος αἴης Ζεὺς δὲ ἰδὼν ἐλέησε, καὶ ἐν πυκιναῖς πραπίδεσσι. Σύνθετο κουφίσαι ἀνθρώπων παμβώτορα γαῖαν. Ῥιπίσας πολέμου μεγάλην ἔριν Ἰλιακοῖο ὄφρα κενώσειε θανάτῳ βάρος. οἱ δ' ἐνὶ Τροίῃ ἥρωες κτείνοντο. Διὸς δ' ἐτελείετο βουλή. καὶ τὰ μὲν παρὰ τοῖς νεωτέροις ἱστορούμενα περὶ τῆς Διὸς βουλῆς, ἐστὶ τάδε. ἡμεῖς δὲ φαμὲν κατὰ τὴν Ἀριστάρχου καὶ Ἀριστοφάνους δόξαν. τὴν Θέτιδος εἶναι βουλὴν, ἣν ἐν τοῖς ἑξῆς φησὶ λιτανεύσασαν τὸν Δία ἐκδικῆσαι τὴν τοῦ παιδὸς ἀτιμίαν. καθάπερ καὶ τὰ κεφάλαια ἐν τῷ προοιμίῳ κατὰ τῆς ποιήσεως. ἐξ οὗ δή.] ἀφ' οὗ δὴ χρόνου.

Ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρείδης τε ἄναξ ἀνδρῶν, καὶ δῖος Ἀχιλλεύς,
Τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός. ὁ γὰρ βασιλῆϊ χολωθείς.
Νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί,
Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα
Ἀτρείδης. ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα,
Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος.
Χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ ἐλίσσετο πάντας Ἀχαιούς.
Ἀτρείδα δὲ μάλιστα δύω κοσμήτορε λαῶν.
Ἀτρείδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί.
Ὑμῖν μὲν θεοὶ δοῖεν ὀλύμπια δώματ' ἔχοντες. +

Ἐκπέρσαι

ταπρῶτα.] τὸ πρῶτον. καὶ τὴν ἀρχήν. διαστήτην.] διεχωρίσθησαν. ἐρίσαντε.] φιλονεικήσαντες. Ἀτρείδης.] ὁ Ἀτρέως παῖς, Ἀγαμέμνων δὲ κατὰ μὲν Ὅμηρον, Ἀτρέως τοῦ Πέλοπος, μητρὸς δὲ Ἀερόπης. κατὰ δὲ Ἡσίοδον, Πλεισθένους, τὸ γένος, Μυκηναῖος. ὃς ἤγαγε ναῦς εἰς Ἴλιον. ἐκπορθήσας δὲ τὴν Ἴλιον, καὶ ὑποστρέψας οἴκαδε, ἀναιρεῖται ὑπὸ Αἰγίσθου τοῦ Θυέστου δόλῳ εὐωχίας ἐπί. οὗτος γὰρ παρὰ τὸν καιρὸν τῆς ἀποδημίας ἐμοίχευε τὴν Ἀγαμέμνονος γυναῖκα Κλυταιμνήστραν. κατὰ δὲ τοὺς τραγικοὺς, αὐτὴ ἡ Κλυταιμνήστρα ἀνεῖλεν αὐτὸν χιτῶνι μὴ ἔχοντι ἔκδυσιν τραχήλου. ἐξ αὐτῆς δὲ ἔσχεν υἱὸν τὸν Ὀρέστην, καὶ θυγατέρας τέσσαρας. Λαοδίκην, Χρυσόθεμιν, Ἰφιγένειαν, καὶ Ἠλέκτραν. ἄναξ.] βασιλεύς. δῖος.] θεῖος. εὐγενής. ἢ ἀπὸ Διὸς ἔχων τὸ γένος. ἔντιμος. ἀπὸ γὰρ Αἰγίνης τῆς Ἀσωποῦ τοῦ ποταμοῦ Θηβῶν, Αἰακός, Αἰακοῦ δὲ, Τελαμὼν καὶ Πηλεύς. Πηλέως δὲ, Ἀχιλλεύς. τίς τ' ἄρ σφωε.] τίς δὴ αὐτοὺς τοὺς δύο Ἀγαμέμνονα, καὶ Ἀχιλλέα. πάλιν δὲ τοῦτο ὁ ποιητὴς ἐρωτᾷ τὴν Μοῦσαν. ἔριδι.] φιλονεικίᾳ. ξυνέηκε.] συνέβαλε. συνέμιξε. Λητοῦς καὶ Διὸς υἱός.] ὁ τῆς Λητοῦς καὶ Διὸς παῖς Ἀπόλλων. πάλιν δὲ τοῦτο ὡς ἀπὸ τῆς Μούσης. Ζεὺς δὲ ἐρασθεὶς Λητοῦς τῆς Κοίου θυγατρὸς ἑνὸς τῶν Τιτάνων, καὶ Φοίβης ἔγκυον αὐτὴν ἐποίησεν. ἥτις δεκαμηνιαίου χρόνου διαγενομένου ἠπείγετο διὰ θαλάσσης πρὸς Ἀστερίαν τὴν νῆσον, μίαν οὖσαν τῶν Κυκλάδων. ἐκεῖσε δὲ ἐλθοῦσα, δραξαμένη δύο φυτῶν, ἐλαίας, καὶ φοίνικος, διδύμους ἀπεκύησε παῖδας. Ἄρτεμιν καὶ Ἀπόλλωνα. καὶ τὴν νῆσον ἐκάλεσε Δῆλον, ἐπεὶ ἐξ ἀδήλου βάσεως ἐρριζώθη. ὁ γάρ.] οὗτος γάρ. βασιλῆϊ.] τῷ βασιλεῖ. χολωθείς.] ὀργισθείς. νοῦσον.] νόσον λοιμικήν. ἀνὰ στρατόν.] κατὰ τὸ στρατόπεδον. ὦρσε.] διήγειρεν. ἐνέβαλεν. κακήν.] κακωτικήν. ὀλέκοντο.] ἀπώλλοντο. λαοί.] ὄχλοι. λᾶες κατὰ διάλεκτον οἱ λίθοι λέγονται. Προμηθέως παῖς Δευκαλίων γίγνεται. οὗτος βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων, γαμεῖ Πύρραν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν οἱ θεοί, πρώτην γυναῖκα. καὶ ἐπειδὴ Ζεὺς ἠθέλησε τὸ χαλκοῦν γένος ἀπολέσαι, ὑποθεμένου Προμηθέως, Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύρρας ἀνέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας, τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν. ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους. ὀλίγων χωρίς. οἵτινες συνέφυγον εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν ὄρη διέστη. καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύθη πάντα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας ἴσας, τῷ Παρνασῷ προσίσχει. κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων, ἐκβὰς, θύει Διὶ φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτήσασθαι ὅ,τι βούλεται. ὁ δὲ αἰτεῖται, ἀνθρώπους αὐτῷ γενέσθαι. καὶ Διὸς εἰπόντος, ὑπὲρ κεφαλῆς ἔβαλλεν αἴρων λᾶας, τουτέστι λίθους. καὶ οὓς μὲν ἔβαλλεν ὁ Δευκαλίων, ἄνδρες ἐγένοντο. οὓς δὲ ἡ Πύρρα, γυναῖκες. ἡ ἱστορία παρ' Ἀπολλοδώρῳ. οὕνεκα τὸν Χρύσην.] ἕνεκα. ἐπειδὴ τὸν Χρύσην. ἠτίμησεν.] ἀτίμως ὕβρισεν. ἀρητῆρα.] ἱερέα. παρὰ τὸ ἀρᾶσθαι ὅπερ ἐστὶν εὔχεσθαι. ὁ γάρ.] οὗτος γάρ. ἦλθε.] παρεγένετο. θοάς.] ταχείας. σημαίνει δὲ καὶ ὀξείας. ὡς ἐν ἐκείνοις ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν. ἐπὶ νῆας.] ἐπὶ τὰς ναῦς, ὅ ἐστι τὰ πλοῖα. λυσόμενος.] λυτρωσόμενος. θύγατρα.] τὴν θυγατέρα. φέρων.] κομίζων. ἄγων. ἀπερείσια.] ἄπειρα τῷ πλήθει. πολλά. ἄποινα.] δῶρα. λύτρα. ἀφ' οἵων τινῶν ὄντα. τὰ ἕνεκεν φόνου διδόμενα. στέμματα.] στεφανώματα. Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ, Δάφνη ὑπῆρχε θυγάτηρ εὐπρεπεστάτη, ἐρασθεὶς δὲ αὐτῆς Ἀπόλλων, καὶ βουλόμενος συγγενέσθαι, ἐδίωκε. καταλαμβανομένης δὲ αὐτῆς ὑπὸ τοῦ θεοῦ, εὔξατο τῇ μητρὶ Γῇ, χάσματι αὐτὴν δεχθῆναι. γενομένου δὲ τούτου, καὶ τῆς γῆς ἀναδούσης ὁμώνυμον φυτόν, Ἀπόλλων θεασάμενος, ἐξεπλάγη. καὶ τὸ μὲν δένδρον, ἀπὸ τῆς παρθένου Δάφνην προσηγόρευσεν ὁμωνύμως. λαβὼν δὲ κλάδον αὐτῆς, ἐστέψατο. ἔχων.] κατέχων. κρατῶν. ἐν χερσίν.] ἐν ταῖς χερσίν. ἑκηβόλου.] ἑκάθεν, ὅ ἐστι πόρρωθεν βάλλοντος. εὐστόχου τοξότου. χρυσέῳ ἀνὰ σκήπτρῳ.] περὶ τῷ κεχρυσωμένῳ σκήπτρῳ. ὅ ἐστι τῇ χρυσῇ ῥάβδῳ τῇ βασιλικῇ. ἐλίσσετο.] ἐλιτάνευε. παρεκάλει. πάντας Ἀχαιούς.] πάντας τοὺς Ἕλληνας. Ἀτρείδα δὲ μάλιστα.] μάλιστα δὲ τοὺς Ἀτρέως παῖδας, Ἀγαμέμνονα καὶ Μενέλαον. μάλιστα.] ἐξαιρέτως. δύω.] δισσούς. κοσμήτορε.] διατάκτορας. ἡγεμόνας. λαῶν.] τῶν ὄχλων. Ἀτρείδαι τε.] ὦ Ἀτρέως παῖδες Ἀγάμεμνον, καὶ Μενέλαε. ἄλλοι.] οἱ λοιποί. ὑμῖν μὲν θεοὶ δοῖεν.] ὑμῖν μὲν οἱ θεοὶ παράσχοιεν. ὀλύμπια δώματ' ἔχοντες.] οἱ τὸν Ὄλυμπον κατοικοῦντες. Ὄλυμπος δὲ, κατὰ μὲν Ὅμηρον, ὄρος

τῆς Μακε

τῆς Μακεδονίας μέγιστον ἱερὸν τῶν θεῶν. κατὰ δὲ ἀλληγορίαν, ὄλυμπός ἐστιν ὁ οὐρανὸς, παρὰ τὸ ὁλολαμπὴς εἶναι. ἐκπέρσαι.] ἐκπορθῆσαι, καταστρέψαι. Πριάμοιο πόλιν.] τὴν Ἴλιον. περιφραστικῶς. εὖ δέ.] καλῶς δέ. διατί δὲ Χρύσης κατὰ τῶν οἰκείων ηὔχετο; λέγομεν ὅτι πρῶτον μὲν ἔδει κολακεύειν τὸν τύραννον, καὶ ταῦτα λέγειν, ἅπερ ἐπιθυμεῖ δρᾶσαι. δεύτερον δὲ ὅτι, διὰ τοὺς Τρῶας ἀπολώλεκε τὴν θυγατέρα. ὅθεν εὐλόγως κέχρηται ταῖς ἀραῖς κατ' αὐτῶν. οἴκαδε.] εἰς τὰ οἰκεῖα. ἱκέσθαι.] παραγενέσθαι. παῖδα δέ μοι.] τὴν θυγατέρα μου. λύσατε.] λύτρα λαβόντες, ἀπολύσατε. φίλην.] προσφιλεστάτην. τά δ' ἄποινα.] τά δὲ τὰ δῶρα. δέχεσθε.] λαμβάνετε. ἀζόμενοι.] ἐντρεπόμενοι, σεβόμενοι. Διὸς υἱόν.] τὸν Διὸς παῖδα Ἀπόλλωνα. ἔνθα.] τότε. χρονικὸν ἐπίῤῥημα. ἐνταῦθα δὲ, τοπικόν. ἐπευφήμησαν.] μετ' εὐφημίας ἐβόησαν. αἰδεῖσθαι.] ἐντρέπεσθαι. ἱερῆα.] τὸν ἱερέα. ἀγλαά.] καλά. δέχθαι.] δέχεσθαι, λαμβάνειν. ἀλλ' οὐκ Ἀτρείδῃ.] ἀλλ' οὐ τῷ Ἀτρέως παιδὶ Ἀγαμέμνονι. ἥνδανε.] ἤρεσκε. θυμῷ.] ἐν τῇ ψυχῇ. ἀλλὰ κακῶς.] ἀλλὰ μεθ' ὕβρεως. ἀφίει.] ἀπέπεμπε. κρατερόν.] ἰσχυρὸν, ἀπειλητικόν. μῦθον.] λόγον. ἔτελλεν.] ἐπέτελλεν, ἔλεγεν. μή σε γέρον.] μή σε ὦ πρεσβύτα. κοίλῃσι.] κοίλαις, βαθείαις. παρὰ νηυσί.] παρὰ ταῖς ναυσί. κιχείω.] καταλάβω. ἢ νῦν.] ἢ ἐν τῷ παρόντι καιρῷ. δηθύνοντα.] ἐγχρονίζοντα. ἢ ὕστερον.] ἢ ἐκ δευτέρου. αὖτις.] πάλιν. ἰόντα.] παραγενόμενον. μή νύ τοι.] μὴ οὐκ ἄν σοι. οὐ χραίσμῃ.] οὐ βοηθήσῃ. σκῆπτρον.] ἡ βασιλικὴ ῥάβδος. στέμμα.] στεφάνωμα. θεοῖο.] τοῦ θεοῦ. τὴν δέ.] ταύτην δέ. οὐ λύσω.] οὐκ ἀπολύσω. πρίν μιν.] πρὸ τοῦ, αὐτήν. γῆρας ἔπεισι.] τὸ γῆρας καταλάβῃ. ἡμετέρῳ ἐνὶ οἴκῳ.] ἐν τῷ ἡμετέρῳ οἴκῳ. ἐν Ἄργει.] ἐν τῷ Ἄργει, ὅ ἐστι, τῇ Πελοποννήσῳ νῦν καλουμένῃ. ὁ δὲ Ἀγαμέμνων, βασιλεὺς ἦν Μυκήνης πόλεως ἀργολικῆς. ἰστέον δὲ ὅτι ἡ Πελοπόννησος τὸ ἀρχαῖον, Αἰγιάλεια ἐκαλεῖτο, ἀπὸ Αἰγιαλέως τοῦ υἱοῦ Ἰνάχου, τοῦ ἐν Ἄργει ποταμοῦ, καὶ Μελίας, τῆς Ὠκεανοῦ. ὕστερον δὲ πάλιν, Ἀπία ἐκλήθη. ἀπὸ Ἄπιδος τοῦ Φορωνέως παιδός. εἶθ' οὕτως Ἄργος, ἀπὸ Ἄργου τοῦ Πανόπτου. τελευταῖον δὲ πάντων, Πελοπόννησος ἀπὸ τοῦ κρατῆσαι τῆς χώρας, τὸν Ταντάλου υἱὸν Πέλοπα. τηλόθι πάτρης.] πόῤῥω τῆς πατρίδος. ἱστὸν ἐποιχομένην.] ἐνεργοῦσαν καὶ ὑφαίνουσαν. διατί ἐπάγει τῇ γαμετῇ καὶ τοῖς τέκνοις τὴν αἰχμάλωτον; ῥητέον οὖν ὅτι, οὐ δι' ἐπιθυμίαν αὐτὴν τοσοῦτον ἐπάγει, ἀλλὰ πρὸς στρατιωτικὴν ὕβριν. ἵνα ἅπερ Μενέλαος ἐπεπόνθει, ταῦτα καὶ αὐτὸς δράσῃ. ὡς καὶ ὁ Νέστωρ φησί. τῷ μή τις πρὶν ἐπειγέσθω οἴκονδε νέεσθαι, πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι. ‹‹ καὶ ἐμὸν λέχος ἀντιόωσαν.] καὶ τῆς ἐμῆς κοίτης ἀντιλαμβανομένην, καὶ μετέχουσαν. ‹‹ ἀλλ' ἴθι.] ἀλλ' ἄπιθι. μή μ' ἐρέθιζε.] μή με παρόξυνε. σαώτερος.] σῶος, ὑγιής. ὥς κε.] ὅπως ἄν. νέηαι.] πορευθῇς, ἐπανέλθῃς. ὣς ἔφατο.] οὕτως εἶπεν. ἔδδεισεν.] ἐφοβήθη, εὐλαβήθη. ὁ γέρων.] ὁ πρεσβύτης. καὶ ἐπείθετο.] καὶ ἐπείσθη. μύθῳ.] τῷ λόγῳ. βῆ δέ.] ἐπορεύθη δὲ. τὸ σχῆμα ἀφαίρεσις. ἀκέων.] ἡσυχάζων, σιωπῶν. παρὰ θῖνα.] παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης. θὶς οὕτω κέκληται ἀπὸ τοῦ θείνεσθαι ὅ ἐστι, τύπτεσθαι τῇ προσρήξει τῶν κυμάτων. πολυφλοίσβοιο.] πολυήχου, πολυταράχου. πολλά.] πλεῖστα. ἔπειτα.] μετὰ ταῦτα. ἀπάνευθεν.] ἄπωθεν, χωρίς. κιών.] παραγενόμενος, πορευθείς. ἠρᾶτο.] ηὔχετο. ὁ γραιός.] ὁ πρεσβύτης. ἄνακτι.] τῷ βασιλεῖ. νῦν δὲ θεῷ τῷ Ἀπόλλωνι. τόν.] ὅν τινα. ἠΰκομος.] εὔκομος. ἀπὸ μέρους, καλή. τέκεν.] ἔτεκεν, ἐγέννησεν. Λητώ.] Λητὼ Κοίου καὶ Φοίβης θυγάτηρ. κλῦθί μευ.] ἐπάκουσόν μου. ἀργυρότοξε.] λαμπρότοξε, καλλίτοξε. ὃς Χρύσην.] ὅς τις τὴν Χρύσαν. Χρύσα δὲ πόλις τρωϊκή. ἀμφιβέβηκας.] περιβέβηκας, ὑπερμαχεῖς. Κίλλαν τε.] καὶ τὴν Κίλλαν. ἔστι δὲ πολίχνιον τῆς Τρωάδος. ζαθέην.] ἀγαν θείαν. ὅ ἐστι πάνυ. Πέλοψ ὁ Ταντάλου κατὰ μισθὸν παιδικῆς ὥρας, λαβὼν παρὰ Ποσειδῶνος ἵππους ἀδαμάστους σὺν τῷ ὀχήματι, ἔσπευσεν εἰς Πίσαν τῆς Πελοποννήσου ἐλθεῖν τὸν Ἱπποδαμείας γάμον. τὸν μνηστηροκτόνον αὐτῆς πατέρα Οἰνόμαον καταγωνίσασθαι ἐπιθυμῶν. γενομένῳ δὲ αὐτῷ περὶ Λέσβον, Κίλλος ὁ ἡνίοχος τελευτᾷ τὸν βίον. ὃς καὶ καθ' ὕπνον ἐπιστὰς τῷ Πέλοπι σφόδρα ὀδυνηρῶς ἐπ' αὐτῷ ἔχοντι, ἀπωδύρετό τε τὴν αὐτοῦ ἀπώλειαν, καὶ περὶ κηδείας ἠξίου, διόπερ ἀναστὰς, ὀξυπύρου τὸ εἴδωλον διὰ πυρός. εἶθ' οὕτως ἔθαψε τὴν τέφραν ἐπιφανῶς τοῦ Κίλλου ἠρίον ἐπ' αὐτῷ ἐγείρας, καὶ πρὸς τῷ ἠρίῳ αὐτοῦ, ἱδρύσατο ἱερὸν, Κιλλαίου Ἀπόλλωνος προσαγορεύσας.

Ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ' οἴκαδ' ἱκέσθαι.
Παῖδα δέ μοι λύσατε φίλην, τάδ' ἄποινα δέχεσθε,
Ἀζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα.
Ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοί.
Αἰδεῖσθαί θ' ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα.
Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,
Ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
Μή σε γέρον κοίλῃσιν ἐγὼ παρὰ νηυσὶ κιχείω,
Ἢ νῦν δηθύνοντ', ἢ ὕστερον αὖτις ἰόντα,
Μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον, καὶ στέμμα θεοῖο.
Τὴν δ' ἐγὼ οὐ λύσω, πρίν μιν καὶ γῆρας ἔπεισιν
Ἡμετέρῳ ἐνὶ οἴκῳ ἐν Ἄργεϊ τηλόθι πάτρης
Ἱστὸν ἐποιχομένην, καὶ ἐμὸν λέχος ἀντιόωσαν.
Ἀλλ' ἴθι, μή μ' ἐρέθιζε σαώτερος ὥς κε νέηαι.
Ὣς ἔφατ'. ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.
Βῆ δ' ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης.
Πολλὰ δ' ἔπειτ' ἀπάνευθε κιὼν ἠρᾶθ' ὁ γεραιὸς
Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ.
Κλῦθί μευ Ἀργυρότοξ' ὃς Χρύσην ἀμφιβέβηκας,
Κίλλαν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.
Σμινθεῦ.

 σαγορεύσας.

Σμινθεῦ. εἴποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα.
Ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα
Ταύρων, ἠδ' αἰγῶν, τόδε μοι κρήηνον ἐέλδωρ.
Τίσειαν Δαναοί, ἐμὰ δάκρυα σοῖσι βέλεσσιν.
Ὣς ἔφατ' εὐχόμενος. τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων.
Βῆ δὲ κατ' οὐλύμποιο καρήνων χωόμενος κῆρ.
Τόξ' ὤμοισιν ἔχων, ἀμφηρεφέα τε φαρέτρην.
Ἔκλαγξαν δ' ἄρ' ὀϊστοὶ ἐπ' ὤμων χωομένοιο.
Αὐτοῦ κινηθέντος. ὁ δ' ἤϊε νυκτὶ ἐοικώς.
Ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν, μετὰ δ' ἰὸν ἕηκε.
Δεινὴ δὲ κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο.

Οὐρῆας

κατηγορήσας. διὰ τὸ, ἀφνιδίως τοῦ Κίλλου ἀποθανεῖν. οὐ μὴν ἀλλὰ καὶ πόλιν κτίσας, Κίλλαν κέκληκεν. ὁ μέντοι Κίλλος, καὶ μετὰ θάνατον, τῷ Πέλοπι δοκεῖ συλλαβέσθαι, ὅπως περιγένηται τοῦ Οἰνομάου ἐν τῷ ἀγῶνι. ἡ ἱστορία παρὰ Θεοπόμπῳ. Τενέδοιό τε.] καὶ τῆς Τενέδου. ἡ δὲ Τένεδος, νῆσός ἐστι πρὸ τῆς Τροίας κειμένη. αὕτη δὲ πρότερον οὐκ εἶχε τὸ ὄνομα. Κύκνου γὰρ τοῦ Ποσειδῶνος Τέννης ἦν καὶ Λευκοθέας παῖδες, καὶ ἡ μὲν μήτηρ αὐτοῦ οὐκ ἔτι ἦν. ἐπέγημε δὲ ὁ Κύκνος, Φυλονόμην. ὡς δὲ ἔνιοι, Πολύβοιαν. ἡ Φυλονόμη δὲ, καὶ γὰρ εἰς ἄνδρας ἐτέλει ἤδη ὁ Τέννης, ἐρασθεῖσα αὐτοῦ, λόγους περὶ συνουσίας ἠνάγκαζε πρὸς αὐτόν. τοῦ δὲ, τὰ πρὸς τὴν φύσιν δίκαια τηρήσαντος, κατηγορήσατο πρὸς τὸν πατέρα αὐτοῦ, ὅτι τεθελήκοι αὐτὴν βιάσασθαι. ὁ δὲ πεισθεὶς τῇ κατηγορίᾳ, συλλαβὼν τὸν παῖδα, ἐνέβαλεν εἰς λάρνακα, καὶ ἔρριψεν εἰς τὴν ὑποκειμένην θάλασσαν. ὃν διὰ σωφροσύνην καὶ διὰ τὸ εἶναι ἔγγονον ἔσωσεν ὁ Ποσειδῶν. τὴν γὰρ λάρνακα προσενεχθῆναι τῇ Λευκόφρυι νήσῳ ἐποίησεν. ἣν οἱ ἐπιχώριοι θεασάμενοι, καὶ ἀφελόντες τὸ ἐπίθεμα, μαθόντες τὸ γεγονὸς, οὐ μόνον ἑαυτῶν βασιλέα τὸν Τέννην κατεστήσαντο, ἀλλὰ καὶ ἀπ' αὐτοῦ Τένεδον τὴν νῆσον προσηγόρευσαν. ἶφι.] ἰσχυρῶς, γενναίως. ἀνάσσεις.] βασιλεύεις. Σμινθεῦ.] ὦ Σμινθεῦ. ἔστι δὲ ἐπίθετον τοῦ Ἀπόλλωνος. Σμίνθος γὰρ τόπος τῆς Τρῳάδος ἐν ᾧ ἱερὸν Ἀπόλλωνος Σμινθέως. ἀπὸ αἰτίας τοιᾶσδε. ἐν Χρύσῃ πόλει τῆς Μυσίας Κρῖνις τις ἱερεὺς ἦν τοῦ κεῖθι Ἀπόλλωνος. τούτῳ ὀργισθεὶς ὁ θεὸς, ἐπέπεμψεν αὐτοῦ τοῖς ἀγροῖς μύας. οἵ τινες τοὺς καρποὺς ἐλυμαίνοντο. βουληθεὶς δέ ποτε ὁ θεὸς αὐτῷ καταλλαγῆναι, πρὸς Ὄρδην τὸν ἀρχιβουκόλον αὐτοῦ παρεγίνετο. παρ' ᾧ ξενισθεὶς ὁ θεὸς, ὑπέσχετο κακῶν ἀπαλλάξαι. καὶ δὴ παραχρῆμα τοξεύσας τοὺς μῦς, διέφθειρεν. ἀπαλλασσόμενος οὖν, ἐνετείλατο τὴν ἐπιφάνειαν αὐτοῦ δηλῶσαι τῷ Κρίνιδι. οὗ γινομένου, Κρῖνις ἱερὸν ἱδρύσατο τῷ θεῷ. Σμινθέα ἱερὸν αὐτὸ καλέσας. ἐπειδήπερ κατὰ τὴν ἐγχώριον αὐτῶν διάλεκτον, οἱ μύες σμίνθοι καλοῦνται. ἡ ἱστορία παρὰ Πολέμωνι. ἄλλοι δὲ οὕτως εἶπον. ὅτι Κρῆτες ἀποικίαν στέλλοντες, χρησμὸν ἔλαβον παρὰ τοῦ Ἀπόλλωνος, ὅπου αὐτοῖς ἐναντιωθῶσι γηγενεῖς, ἐκεῖ κτίσαι τὴν πόλιν. οἱ δὲ ἀπέστειλαν τοὺς ἀποίκους. ἐλθόντων δὲ εἰς τὸν Ἑλλήσποντον, καὶ νυκτὸς ἐπιγενομένης, μύες ἔκοψαν αὐτῶν τοὺς τελαμῶνας τῶν ὅπλων. πρωῒ δὲ ἀναστάντες καὶ θεασάμενοι τοῦτο, σοφισάμενοί τι καθ' ἑαυτοὺς, ἔκτισαν ἐκεῖ πόλιν. ἥντινα καὶ ἐκάλεσαν Σμινθίαν. οἱ γὰρ Κρῆτες, τοὺς μύας, σμίνθους καλοῦσιν. ἐκ τούτου καὶ Ἀπόλλων Σμίνθιος ἐκλήθη, διὰ τὸ ὑπερασπίζειν αὐτῶν. εἴποτέ τοι.] ἐάν ποτέ σοι. χαρίεντα.] εὐχαρῆ, καλόν. νηόν.] ναόν. ἔρεψα.] ὠρόφωσα. ἐστεφάνωσα. ἢ εἰ δή ποτέ τοι.] ἢ εἰ πώποτέ σοι. πίονα.] πιμελῆ, λιπαρά. μηρία.] τὰ μηριαῖα ὀστᾶ. ἔκηα.] ἐπὶ τῷ βωμῷ ἔκαυσα, τουτέστιν, ἐκάρπωσα. ταύρων ἠδ' αἰγῶν.] ἤτοι, ταύρων καὶ αἰγῶν. τόδε μοι.] τοῦτό μοι. κρήηνον.] ἐπιτέλεσον. ἐέλδωρ.] ἐπιθύμημα. τίσειαν.] τιμωρίαν δοῖεν, ὅ ἐστι, παράσχοιεν. Δαναοί.] οἱ Ἕλληνες. ἀπὸ Δαναοῦ τοῦ Βήλου. Βῆλος δὲ Ἀγήνορος μὲν ἦν ἀδελφὸς. υἱὸς δὲ Ποσειδῶνος καὶ Λιβύης. ἀφ' ἧς ἡ χώρα ὠνομάσθη Λιβύη. βασιλεύων δὲ Αἰγυπτίων, γαμεῖ Ἀγχινόην τὴν Νείλου θυγατέρα. καὶ γίνονται παῖδες αὐτῷ δίδυμοι, Αἴγυπτος καὶ Δαναός. Δαναὸν μὲν οὖν ὁ Βῆλος ἐν Λιβύῃ κατοικίζει. Αἴγυπτον δὲ, ἐν Ἀραβίᾳ. ὃς καταστρεψάμενος τὴν Μελαμπόδων χώραν, ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. γίνονται δὲ ἐκ πολλῶν γυναικῶν, Αἰγύπτῳ μὲν, πεντήκοντα παῖδες, Δαναῷ δὲ, θυγατέρες πεντήκοντα. στασιασάντων δὲ πρὸς ἀλλήλους περὶ τῆς ἀρχῆς. ὕστερον Δαναὸς τοὺς τοῦ Αἰγύπτου παῖδας, πλὴν ἑνὸς, ἢ δυοῖν, διὰ τῶν θυγατέρων ἀνεῖλε. δεδοικὼς καθότι καὶ ἐκ χρησμοῦ ἠκηκόει, ὅτι φονευθήσεται ὑπὸ ἑνὸς αὐτῶν, καὶ ὑποθεμένης Ἀθηνᾶς αὐτῷ, ναῦν πρῶτος κατεσκεύασε τὴν κληθεῖσαν, ὡς ἀπὸ τοῦ ἀριθμοῦ τῶν θυγατέρων αὐτοῦ, Πεντηκόντορον, ἐν ᾗ τὰς κόρας ἐνθέμενος ἔφυγε. προσσχὼν δὲ Ῥόδῳ, τὸ τῆς Λινδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο. ἐντεῦθεν δὲ ἧκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσιν Ἐλάνωρ ὁ τότε βασιλεύων. αὐτὸς δὲ κρατήσας τῆς χώρας, ἀφ' ἑαυτοῦ τοὺς ἐνοικοῦντας, Δαναοὺς ὠνόμασεν. ἱστορεῖ Ἀπολλόδωρος ἐν δευτέρῳ. ἐμὰ δάκρυα σοῖσι βέλεσσι.] ἀντὶ τοῦ, τῶν ἐμῶν δακρύων. διατί δὲ ὁ Χρύσης, οὐ κατὰ Ἀγαμέμνονος ηὔχετο τοῦ ὑβρίσαντος αὐτὸν, ἀλλὰ κατὰ πάντων τῶν Ἑλλήνων. φαμὲν δὴ, ὅτι Ἀγαμέμνονος ἀποθανόντος ὁ στρατὸς ἐλύετο. καὶ Χρυσηῒς εἰς Ἑλλάδα ἀπήγετο. ἀναιρουμένων δὲ τῶν ὄχλων, ζήτησις ἦν τοῦ πάθους. ἀπόδοσις δὲ, τῆς κόρης. καὶ ἀποθανὼν μὲν Ἀγαμέμνων, ἄλυπος ἦν. ζῶν δὲ, βασανίζεται, βλέπων ἅτε βασιλεὺς ἀπολλυμένους τοὺς ὄχλους. ἢ ὅτι πᾶσιν ἠράσατο, ἀνθ' ὧν πάντες ὁμοῦ γενόμενοι, οὐκ ἐπέσχον τὴν τοῦ βασιλέως ὕβριν. δικαίως οὖν αὐτοὶ ἔπαθον. καὶ γὰρ Ἡσίοδός φησι. Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα. ὣς ἔφατο.] οὕτως εἶπεν. τοῦ δ' ἔκλυε.] τούτου δὲ ὑπήκουσε. Φοῖβος.] καθαρός, ἀμίαντος, ἢ μαντικός. Φοῖβον γὰρ τὸν καθαρόν. Ἡσίοδος δὲ, μετωνυμικῶς Φοῖβον αὐτὸν καλεῖ, ἀπὸ Φοίβης. βῆ δὲ κατ' οὐλύμποιο.] κατέβη δὲ ἀπὸ τῶν τοῦ Ὀλύμπου ὑπεροχῶν, ὅ ἐστιν ἀκρωτηρίων. χωόμενος.] λυπούμενος, ὀργιζόμενος. κῆρ.] ὀξυτόνως μὲν, ἡ ψυχή, περισπωμένως δὲ, ἡ θανατηφόρος μοῖρα. τόξ' ὤμοισιν ἔχων.] ἀντὶ τοῦ, τὸ τόξον ἐπὶ τοῖς ὤμοις ἔχων. ἀμφηρεφέα δὲ φαρέτρην.] τὴν ἑκατέρωθεν ἐσκεπασμένην φαρέτραν, ἤγουν βελοθήκην. ἔκλαγξαν.] ποιὸν ἦχον ἀπετέλεσαν. ὀϊστοί.] τὰ βέλη. ἐπ' ὤμων.] ἐπὶ τῶν ὤμων. χωομένοιο.] ὀργιζομένου αὐτοῦ κινηθέντος.] κινηθέντος αὐτοῦ ἐπὶ τόπον. ὁ δέ.] οὗτος δέ. ἤϊε.] παρεγίνετο. νυκτὶ ἐοικώς.] σκότει παραπλήσιος. φοβερὸς καὶ ἀόρατος. ἕζετο.] ἐκαθέζετο. ἔπειτα.] μετὰ ταῦτα. ἀπάνευθεν.] ἄπωθεν, χωρίς. νεῶν.] τῶν νηῶν, τῶν πλοίων. μετὰ δέ.] μετὰ ταῦτα δέ. ἰόν.] βέλος. ἕηκεν.] ἀφῆκεν. ἐπέμψεν. δεινὴ δὲ κλαγγή.] φοβερὸς δὲ ἦχος ἐγένετο.]

γίνετο.] ἐγίνετο. ἀργυρέοιο.] ἀργυροῦ, καλοῦ. βιοῖο.] τῆς τοῦ τόξου νευρᾶς. οὐρῆας.] ὀρεῖς, ὑποζύγια. ἐπώχετο.] ἐπῄει, ἐπήρχετο. ἀργούς.] ταχεῖς, ἢ λευκούς. Διατί δὲ ἀπὸ τῶν κυνῶν, καὶ τῶν ἡμιόνων, ὁ λοιμὸς ἤρξατο, οὐκ ἀπὸ τῶν Ἑλλήνων δὲ, οὐδὲ ἀπ' ἄλλου τινὸς ζώου; καὶ οἱ μὲν ῥητορικοὶ λύοντες, φασίν, ὅτι φιλάνθρωπον ὂν τὸ θεῖον, ἐβούλετο παιδεῦσαι τοὺς Ἕλληνας, καὶ μὴ παντάπασιν ἀπολέσαι. καὶ διὰ τοῦτο πρότερον ἀπὸ τῶν τοιούτων ζώων ἤρξατο. μετάνοιαν τοῖς ἁμαρτάνουσι διδούς. οἱ δὲ ἀληθέστερον καὶ φιλοσοφώτερον λύοντες, φασὶν ὅτι, ἅπας μὲν λοιμὸς ἀπὸ ἐκφλογώσεως γίγνεται, γῆθεν ἀναφερόμενος δὲ ἀναθυμιάσεως. διὸ καὶ τὸν Ἀπόλλωνα φασὶν αἴτιον, ἐπεὶ ὁ αὐτὸς εἶναι λέγεται τῷ ἡλίῳ τῷ καταφλέγοντι τὴν γῆν. ἐκ γῆς δὲ γινομένης τῆς νόσου, ἀναγκαῖον τοὺς κύνας πρῶτον ᾐσθῆσθαι τῆς βλάβης, ὅτι τε, καὶ αἰσθητικώτεροί εἰσι τὰ ἄλογα ζῶα φύσει τῶν ἀνθρώπων, καὶ ἔτι κατανεύουσι πρὸς τὴν γῆν, καὶ ἀνιχνεύουσι. τοὺς δὲ ἡμιόνους, οὐ διὰ τὸ κάτω νεύειν, ἀλλὰ τῷ ἐκ διαφόρων σωμάτων εἰληχέναι τὴν γένεσιν, πᾶν γὰρ εὐδιάφθαρτον τὸ τοιοῦτον. δεκάτῃ δὲ ἡμέρᾳ φανερὸν γενέσθαι τὸ νόσημα κατ' αὐτὴν τὴν Ποιητὴν τὸ θεώρημα εὔλογον τοῦ ἀέρος, ἐν ταύτῃ πάντως καθισταμένου. ἡ Ἥρα φησὶν ἐπὶ φρεσὶ θῆκε τῷ Ἀχιλλεῖ. Ἀχιλλεὺς γὰρ Χείρωνος ὢν μαθητὴς, καὶ τὴν ἰατρικὴν τέχνην σαφῶς ἐπιστάμενος, ἐκ τῆς τοῦ ἀέρος καταστάσεως ἐπέγνω γινόμενον τὸ κακόν. τὸ γὰρ τῆς ἥρας ὄνομα παρὰ τὸν ἀέρα πεποίηται. ἐπεὶ, τίνος ἕνεκεν Νέστωρ, ἢ Ὀδυσσεὺς, ἢ Μενέλαος, οὐδεὶς ἐλάττον τῶν Ἑλλήνων φροντίζοντες, οὐ ζητοῦσι τὸ αἴτιον τῆς νόσου. αὐτὰρ ἔπειτα.] μετὰ ταῦτα δέ. αὐτοῖσιν.] αὐτοῖς, δηλονότι τοῖς Ἕλλησιν. ἐχεπευκές.] ἔχον πικρίαν. ἀπὸ τῆς πεύκης ἡ μεταφορά. καὶ γὰρ ἡ πεύκη κοπεῖσα, οὐκ ἀνίησι βλαστὸν, καὶ τὸ δάκρυον αὐτῆς ἐστι πικρὸν, ἢ πίσσα. ἐφιείς.] ἐπιπέμπων. βάλλε.] ἔβαλλεν. ἐκ βολῆς ἀνῄρει. ἐτίτρωσκεν. αἰεὶ δέ.] διαπαντὸς δέ. πυραί.] πυρκαϊαί. τὸ γὰρ παλαιὸν, τὰ σώματα τῶν θνησκόντων πρότερον ἐκαίετο, διὰ τὸ, ἀπέραντα γίγνεσθαι. εἶθ' οὕτως ἐθάπτετο ὑπὸ γῆν. ἡ δὲ αἰτία τοῦ καίεσθαι τὰ σώματα παρὰ τοῖς Ἕλλησιν αὕτη. πρῶτος φασὶν οὕτως ἐτάφη Ἀργεῖος ὁ Λικυμνίου δι' ἀνάγκην ὑπὸ Ἡρακλέους. συναγαγὼν γὰρ στρατείαν ἐπὶ Ἴλιον Ἡρακλῆς, διὰ τὸ, τὸν Λαομέδοντα παρὰ σύνταξιν ποιῆσαι αὐτῷ σώσαντι τῶν κητοῦς τὴν θυγατέρα αὐτοῦ Ἡσιόνην, καὶ μὴ δοῦναι τοὺς ἵππους οὓς ὑποσχόμενος ἦν αὐτῷ, ὑπὲρ τῆς τοσαύτης εὐεργεσίας, ἐζήτει καὶ τὸν Ἀργεῖον ὡσανεὶ οἰκεῖον, Λικυμνίου δέ φασι τοῦ πατρὸς Ἀργείου φοβουμένου ὅτι καὶ τὸν πρότερον αὐτοῦ υἱὸν ὀνόματι Οἰωνὸν ἀποστείλας εἰς Λακεδαίμονα μεθ' Ἡρακλέους ἀπέβαλεν καὶ μὴ διδόντος, Ἡρακλῆς ὤμοσεν ἀπάξειν πάλιν αὐτόν. τότε δ' οὖν συμπεσούσης Ἀργείου τῆς τοῦ βίου τελευτῆς, διαπορηθεὶς ὁ Ἡρακλῆς πῶς ἂν διατηρήσοι τὸν ὅρκον, ἔκαυσεν αὐτόν. καὶ πρῶτον φασὶ τοῦτον τοιαύτης ἐπιμελείας τυχεῖν. ἡ ἱστορία παρὰ Ἀνδρωνι. νεκύων.] τῶν νεκρῶν. καίοντο.] ἐκαίοντο. θαμειαί.] πυκναί. συνεχεῖς. πῶς φασιν ὁ Ποιητὴς ἐναντία ἑαυτῷ λέγει. πρῶτον γὰρ εἰπὼν αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσι, νῦν ἐπάγει, αἰεὶ δὲ πυραὶ νεκύων καίοντο. ἐροῦμεν ὅτι ὁ λοιμὸς, ἦγε τὴν μῆνιν. ἡ μῆνις δὲ, τὰς μεταταῦτα μάχας. καὶ οἱ ἐν ταύταις πίπτοντες, ἑλώρια κυνῶν ἐγίγνοντο. οἱ δὲ, ὑπὸ τοῦ λοιμοῦ φθειρόμενοι ἐκαίοντο. ἐννῆμαρ.] ἐπὶ ἐννέα ἡμέρας. ἀνὰ στρατόν.] κατὰ τὸ στρατόπεδον. ᾤχετο.] ἐπῄει, ἐπήρχετο. κῆλα.] βέλη. ὅτε δὲ σημεῖα. τῇ δεκάτῃ δέ.] προσυπακουστέον, ἡμέρᾳ. ἀγορήν.] ἐκκλησίαν, συνέδριον. καλέσατο.] συνεκαλέσατο, συνήγαγεν. τῷ γάρ.] τούτῳ γάρ. ἐπὶ φρεσὶ θῆκε.] κατὰ νοῦν ἐποίησε. λευκώλενος.] λευκοβραχίων, ἀπὸ μέρους. καλή. ὁ δὲ τρόπος, σωματοποιΐα, ὠλέναι γὰρ αἱ χεῖρες. Ἥρη κήδετο.] ἐφρόντιζεν ἡ Ἥρα. εὐλόγως δὲ φροντίζει τῶν Ἑλλήνων ἡ Ἥρα, ὅτι τὸ Ἄργος ὅλον ἱερὸν αὐτῆς. ἄλλως τε, καὶ ἣν ὑβρισθεῖσα ὑπὸ Ἀλεξάνδρου, ὡς καὶ ἡ Ἀθηνᾶ, ἐν τῇ τοῦ μήλου κρίσει. ἤθελεν οὖν σώζεσθαι τοὺς Ἕλληνας, ἵνα γένηται τοῖς Τρωσὶν ὄλεθρος. ὅτι ῥα.] ὅτι δή. θνήσκοντας.] ἀποθνήσκοντας. ὁρᾶτο.] ἑώρα, ἔβλεπεν. οἱ δ' ἐπεὶ οὖν.] ἐπειδὴ δὲ οὗτοι. ἤγερθεν.] συνηθροίσθησαν. ὁμηγερέες.] ὁμοῦ κατὰ τὸ αὐτὸ ἐγένοντο. τοῖσι δέ.] ἐν αὐτοῖς δέ. ἀνιστάμενος.] ἀναστάς. τὸ γὰρ παλαιὸν, κἂν βασιλεὺς ἦν, κἂν ἄλλης οἵας δή ποτε τύχης, ἐδημηγόρει ὀρθὸς ἱστάμενος. μετέφη.] ἐν αὐτοῖς εἶπεν. ἐδημηγόρησε. πόδας ὠκύς.] ὁ ταχὺς τοῖς ποσί. διὰ δὲ τούτου, δηλοῖ ἡμῖν τὸ εὐκίνητον τοῦ Ἥρωος. νῦν.] ἄρτι, χρονικὸν ἐπίρρημα. ἄμμε.] ἡμᾶς, Αἰολικῶς. παλιμπλαγχθέντας.] εἰς τοὐπίσω πλανηθέντας. ὀΐω.] οἶμαι. ὑπολαμβάνω. ἄψ.] πάλιν. εἰς τοὐπίσω. ἀπονοστήσειν.] ἐπανελθεῖν, ὑποστρέψειν. νόστος γὰρ ἡ εἰς οἶκον ὑποστροφή. διὰ τὸ τῆς πατρίδος ἡδύ. εἴ κεν.] ἐὰν τὸν θάνατον ὅλως διαφύγωμεν. εἰ δὴ ὁμοῦ.] καὶ κατὰ τὸν αὐτὸν χρόνον καὶ καιρόν. δαμᾷ.] δαμάζει. καταπονεῖ. μάντιν ἐρείομεν.] ἀλλὰ δεῦρο μάντιν τινὰ ἐρωτήσωμεν. ἔστι γὰρ γένος τι τῆς μαντικῆς, διαιρούμενον εἰς εἴδη τρία. εἰς οἰωνοσκοπίαν, ἱεροσκοπίαν, καὶ τὴν διὰ τῶν ὀνειράτων μαντείαν. ἐρείομεν.] ἐρωτήσωμεν. ἱερῆα.] θύτην. ὀνειροπόλον.] τὸν δι' ὀνείρων μαντευόμενον. ὄναρ.] ὁ ὄνειρος. καὶ ἡ δι' ὀνείρου ἀποκάλυψις. ἐκ Διός.] ἀπὸ τοῦ Διός. ὅσκ' εἴποι.]

Οὐρῆας μὲν πρῶτον ἐπῴχετο, καὶ κύνας ἀργούς.
Αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς,
Βάλλ', αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί.
Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο.
Τῇ δεκάτῃ δ' ἀγορὴν δὲ καλέσατο λαὸν Ἀχιλλεύς.
Τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη.
Κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας ὁρᾶτο.
Οἱ δ' ἐπεὶ οὖν ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας ὀΐω
Ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν.
Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ, καὶ λοιμὸς Ἀχαιούς.
Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
Ἢ καὶ ὀνειροπόλον. καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν,
Ὅς κ' εἴποι ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων.

Εἴτ'

Εἴτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται, εἴθ' ἑκατόμβης.
Αἴ κέν πως ἀρνῶν κνίσσης, αἰγῶν τε τελείων
Βούλεται ἀντιάσας, ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.
Ἤτοι ὅγ' ὡς εἰπὼν, κατ' ἄρ' ἕζετο. τοῖσι δ' ἀνέστη
Κάλχας Θεστορίδης οἰωνοπόλων ὄχ' ἄριστος,
Ὃς ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα,
Καὶ νήεσσ' ἡγήσατ' Ἀχαιῶν Ἴλιον εἴσω, +
Ἣν διὰ μαντοσύνην, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων,
Ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν.
Ὦ Ἀχιλεῦ, κέλεαί με Διῒ φίλε μυθήσασθαι
Μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.
Τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο, καί μοι ὄμοσσον,
Ἦ μέν μοι πρόφρων ἔπεσιν, καὶ χερσὶν ἀρήξειν.
Ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Ἀργείων κρατέει, καί οἱ πείθονται Ἀχαιοί.
Κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ,
Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ
Ἐν στήθεσιν ἑοῖσι. σὺ δὲ φράσαι εἴ με σαώσεις.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς,
Θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ, τι οἶσθα.
Οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον, ᾧ τε σὺ Κάλχαν
Εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
Οὔτις ἐμεῦ ζῶντος, καὶ ἐπὶ χθονὶ δερκομένοιο,
Σοὶ κοίλης παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει,
Συμπάντων Δαναῶν, οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς,
Ὃς νῦν πολλὸν ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι.
Καὶ τότε δὴ θάρσησε, καὶ ηὔδα μάντις ἀμύμων.
Οὔτ' ἄρ ὅγ' εὐχωλῆς ἐπιμέμφεται, οὔθ' ἑκατόμβης.
Ἀλλ' ἕνεκ' ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων.
Οὐδ' ἀπέλυσε θύγατρα, καὶ οὐκ ἀπεδέξατ' ἄποινα.

Τοὔνεκ'

ὅστις ἂν ἡμῖν εἴποι. ὅτι τόσσον.] ὅτι τοσοῦτον. ἐχώσατο.] ὠργίσθη. εἴτ' ἄρ.] εἴτε δή. ὅτι.] ὅτου. εὐχωλῆς.] εὐχῆς, δεήσεως. ἐπιμέμφεται.] ἐπαιτιᾶται, ἐπιζητεῖ. ἑκατόμβης.] τελείας θυσίας, ἤτοι δὲ ἀπὸ τῶν ἑκατὸν βοῶν, ἢ δὲ ἀπὸ ἑκατὸν βάσεων. ὅ ἐστιν, ἀπὸ εἰκοσιπέντε ζώων. αἴ κέν πως.] ἐάν πως. κνίσσης.] ἐπίπλου λίπους ἀφ' οὗ θυσίας. αἰγῶν τε.] καὶ αἰγῶν. τελείων.] ἤτοι τὴν ἡλικίαν ὁλοκλήρων. λελωβημένον γὰρ οὐ θύεται. ἀλλ' ὑγιὲς ἡ τῶν τελουμένων θυσία. ἀντιάσας.] ἀπαντήσας, μετασχών. ἡμῖν ἀπό.] ἀπὸ καὶ χωρὶς ἡμῶν ποιῆσαι τὸν λοιμόν. λοιγόν.] ὄλεθρον. ἀμῦναι.] ἀπεῖρξαι. ἤτοι ὅγ' ὡς εἰπών.] οὗτος μὲν οὕτως εἰπών. κατ' ἄρ' ἕζετο.] ἐκαθέσθη. τοῖσι δέ.] ἐν αὐτοῖς δέ. ἀνέστη.] ὀρθὸς ἔστη. Θεστορίδης.] ὁ Θέστορος παῖς Κάλχας. ὁ δὲ τύπος, πατρωνυμικός. οἰωνοπόλων.] ὀρνεοσκόπων, μαντέων. ὄχ' ἄριστος.] ἐξόχως ἄριστος. ὃς ᾔδη.] ὅς τις ἠπίστατο. τά τ' ἐόντα.] καὶ τὰ ἐνεστῶτα. τά τ' ἐσσόμενα.] καὶ τὰ γενησόμενα.

πρό τ' ἐόντα.] καὶ τὰ παραγεγονότα. ἔστι γὰρ τελέας μαντείας, τὸ ἐπίστασθαι τοὺς τρεῖς χρόνους ἀκριβῶς. καὶ νήεσσι.] καὶ ταῖς ναυσίν. ἡγήσατο.] ἡγεμὼν ἐγένετο. Ἴλιον εἴσω.] εἰς τὴν Ἴλιον. ἣν διὰ μαντοσύνην.] διὰ τὴν ἰδίαν μαντείαν. τήν οἱ.] ἥν τινα αὐτῷ. πόρε.] παρέσχεν. ἐδωρήσατο. ὅ σφιν.] ὃς ἐν αὐτοῖς. ἐϋφρονέων.] καλῶς νοῶν. ἀγορήσατο, καὶ μετέειπεν.] ἐδημηγόρησε καὶ εἶπε. κέλεαί με.] κελεύεις με. Διῒ φίλε.] τῷ Διῒ προσφιλέστατε.

μυθήσασθαι.] εἰπεῖν, ἀπαγγεῖλαι. μῆνιν Ἀπόλλωνος.] τὴν ὀργὴν τοῦ Ἀπόλλωνος. ἑκατηβελέταο.] πόρρωθεν βάλλοντος. εὐστόχου τοξότου. ἄνακτος.] βασιλέως. νῦν δὲ θεοῦ.

τοιγὰρ ἐγὼν ἐρέω.] ἐγὼ μὲν οὖν ἐρῶ. σὺ δὲ σύνθεο.] σὺ δὲ σύνθου. καὶ κατανόησον. κατὰ διάλυσιν. καί μοι ὄμοσσον.] καὶ ὄμοσόν μοι. ἦ μέν μοι.] ὄντως δή μοι. ἔπεσι καὶ χερσίν.] λόγοις, καὶ ἔργοις.

ἀρήξειν,] βοηθήσειν. ἦ γὰρ ὀΐομαι.] ἀληθῶς ὑπολαμβάνω. χολωσέμεν.] εἰς ὀργὴν ἐμβαλεῖν. ὃς μέγα.] ὅστις μεγάλως.

Ἀργείων.] τῶν Ἑλλήνων. κρατέει.] βασιλεύει. καί οἱ πείθονται Ἀχαιοί.] καὶ αὐτῷ ὑπακούουσιν οἱ Ἕλληνες. κρείσσων.] ἐπικρατέστερος. ὅτε χώσεται.] ὅταν ὀργισθῇ. ἀνδρὶ χέρηϊ.] ἀνδρὶ χείρονι, ἐλάττονι. εἴπερ γάρ τε.] ἐάν περ γάρ, ἢ ἵνα. χόλον.] τὴν ὀργήν. αὐτῆμαρ.] αὐθημερόν, ἐν αὐτῇ τῇ ἡμέρᾳ. καταπέψῃ.] κατάσχῃ, καταδαπανήσῃ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν γαστρὶ πλείονι χρόνῳ κατεχομένων σιτίων, διὰ τὴν πέψιν τὴν ἐν αὐτῇ γιγνομένην. μετόπισθεν.] μετὰ ταῦτα, ἐκ δευτέρου.

ἔχει.] κατέχει, φυλάττει. κότον.] ὀργήν. ὄφρα τελέσσῃ.] ὅπως πληρώσῃ. ἑοῖσιν.] ἰδίοις. φράσαι.] λογίσαι, σκέψαι. εἴ με σαώσεις.] ὅπως με σώσῃς. τὸν δέ.] τοῦτον δέ. ἀπαμειβόμενος.] δι' ἀμοιβῆς ἀποκρινόμενος. προσέφη.] προσεῖπεν. πόδας ὠκύς.] ταχὺς ἐν τῷ τρέχειν. θαρσήσας.] εὐθαρσὴς καὶ ἄφοβος γενόμενος. μάλα.] λίαν, πάνυ.

θεοπρόπιον.] τὸ ἐκ θεῶν μάντευμα. ἢ τὸ τοῖς θεοῖς ἀρεστόν. οὕτω γὰρ τὰ τοῖς θεοῖς ἀρέσκοντα λέγουσιν. ὅ τι οἶσθα.] ὅπερ ἐπίστασαι. οὐ μὰ γάρ.] ὄμνυμι γάρ σοι. ἡ οὐ ἀπομωτικῶς. πεπλεόνακε γὰρ τὸ οὐ, κατὰ Ἀττικὴν συνήθειαν. Διῒ φίλον.] τὸν τῷ Διῒ προσφιλέστατον. ᾧ τε σύ.] ᾧ τινι σὺ ὦ Κάλχαν. θεοπροπίας.] τὰς ἐκ θεῶν μαντείας. ἀναφαίνεις.] φανερὰς ποιεῖς, προσημαίνεις. οὔτις.] οὐδείς. ἐμεῦ.] ἐμοῦ. ἐπὶ χθονί.] ἐπὶ δὲ γῆς. δερκομένοιο.] ὁρῶντος, ἢ ὁρωμένου. σοὶ κοίλης.] κοίλαις, βαθείαις. βαρείας χεῖρας.] ὑβριστικάς, φονικάς. ἐποίσει.] ἐπιβαλεῖ, ἐπενέγκοι. συμπάντων Δαναῶν.] ὁμοῦ πάντων τῶν Ἑλλήνων. οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς.] οὐδ' ἂν αὐτὸν τὸν Ἀγαμέμνονα ὀνομάσῃς. ὁ δὲ τρόπος ἐξοχή. νῦν.] ἐν τῷ παρόντι καιρῷ. πολλόν.] κατὰ πολύ. ἄριστος.] ἐξοχώτατος. ἐνὶ στρατῷ.] ἐν τῷ στρατοπέδῳ. εὔχεται.] καυχᾶται. θάρσησεν.] ἐθάρσησεν, ἀνεζωπυρήθη. καὶ ηὔδα.] καὶ εἶπεν. ἀμύμων.] ἄμωμος, ἀγαθὸς καὶ ἄψογος. οὔτ' ἄρ.] οὔτε

τι δή.

Τοὔνεκ' ἄρ' ἄλγε' ἔδωκεν ἑκηβόλος ἠδ' ἔτι δώσει.
Οὐδ' ὅγε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει,
Πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην,
Ἀπριάτην, ἀνάποινον, ἄγειν θ' ἱερὴν ἑκατόμβην
Ἐς Χρύσην, τότε κέν μιν ἱλασσάμενοι πεπίθοιμεν.
Ἤτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο, τοῖσι δ' ἀνέστη
Ἥρως Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
Ἀχνύμενος, μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
Πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην.
Κάλχαντα πρώτιστα κάκ' ὀσσόμενος προσέειπε.
Μάντι κακῶν, οὐ πώποτέ μοι τὸ κρήγυον εἶπες,
Αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι.
Ἐσθλὸν δ' οὐδέ τι πω εἶπας ἔπος, οὐδ' ἐτέλεσσας.
Καὶ νῦν ἐν Δαναοῖσι θεοπροπέων ἀγορεύεις,
Ὡς δὴ τοῦδ' ἕνεκά σφιν ἑκηβόλος ἄλγεα τεύχει,
Οὕνεκ' ἐγὼ κούρης Χρυσηΐδος ἀγλά' ἄποινα
Οὐκ ἔθελον δέξασθαι. ἐπεὶ πολὺ βούλομαι αὐτὴν +
Οἴκοι ἔχειν, καὶ γάρ ῥα Κλυταιμνήστρης προβέβουλα
Κουριδίης ἀλόχου, ἐπεὶ οὔ ἑθέν ἐστι χερείων
Οὐ δέμας, οὐδὲ φυήν, οὔτ' ἂρ φρένας, οὔτέ τι ἔργα.
Ἀλλὰ καὶ ὣς ἐθέλω δόμεναι πάλιν, εἰ τό γ' ἄμεινον,
Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι.
Αὐτὰρ ἐμοὶ γέρας αὐτίχ' ἑτοιμάσατ', ὄφρα μὴ οἶος
Ἀργείων ἀγέραστος ἔω, ἐπεὶ οὐδὲ ἔοικε.
Λεύσσετε γὰρ τό γε πάντες, ὅ μοι γέρας ἔρχεται ἄλλῃ. +
Τὸν δ'

τι δή. ἔτι.] οὗτος ὁ Ἀπόλλων. εὐχωλῆς.] εὐχῆς, δεήσεως. ἀρητῆρος.] τοῦ ἱερέως. οὐδ' ἀπέλυσεν.] οὐκ ἀπελυτρώσατο. οὐκ ἀπεδέξατο.] οὐκ ἐδέξατο. τοὔνεκα.] τούτου ἕνεκα, τούτου χάριν. ἄρ.] δή. ἠδ' ἔτι.] καὶ ἔτι. δώσει.] παράσχῃ. οὐδ' ὅγε.] οὐδὲ οὗτος. πρίν.] πρότερον. λοιμοῖο.] τοῦ λοιμοῦ. βαρείας.] βλαβεράς, κακωτικάς. ἀφέξει.] ἐπίσχει, παύσει. πρίν γ' ἀπό.] ὑποδεκτέον. φίλῳ.] προσφιλεῖ. δόμεναι.] δοῦναι. ἑλικώπιδα.] μελανόφθαλμον, ἀφ' οὗ, εὐπρεπῆ. ἑλικὸν γὰρ κατὰ διάλεκτον καλεῖται τὸ μέλαν. κούρην.] κόρην, θυγατέρα. ἀπριάτην, ἀνάποινον.] ἄνευ πράσεως καὶ δώρων, ἐπιρρηματικῶς. ἄγειν θ'.] καὶ ἀπάγειν, παράλειψις ὁ τρόπος. ἱερήν.] εἰς τὴν ἱερὰν Χρύσαν. ἑκατόμβην.] τελείαν θυσίαν. τότε κέν μιν.] τότε ἂν αὐτόν. ἱλασσάμενοι.] ἐξιλεωσάμενοι, ἐξευμενίσαντες. πεπίθοιμεν.] πείσοιμεν. κατ' ἄρ' ἕζετο.] ἐκαθέσθη. εὐρυκρείων.] μεγάλως κρατῶν καὶ βασιλεύων. ἀχνύμενος.] λυπούμενος, ὀργιζόμενος. μένεος.] ὀργῆς, θυμοῦ. φρένες ἀμφιμέλαιναι.] αἱ ἐν βάθει κείμεναι καὶ συνεταὶ διάνοιαι αὐτοῦ τεταραγμέναι διὰ τὴν ὀργήν. πλήσαντο.] ἐπληροῦντο. ὄσσε.] ὄμματα, ὀφθαλμοί. οἱ.] αὐτῷ. πυρὶ λαμπετόωντι.] πυρὶ λάμποντι. ἐΐκτην.] ὡμοιοῦντο. πρώτιστα.] πρὸ πάντων. κάκ' ὀσσόμενος.] δεινὸν καὶ ὀργίλον ὑποβλεπόμενος. προσέειπε.] προσεῖπεν αὐτῷ. μάντι κακῶν.] ὦ κακῶν μάντι. συντείνει δὲ τοῦτο, εἰς τὸ δεκαέτη μαντεύσασθαι αὐτὸν ἐν Αὐλίδι τὸν πόλεμον, ὅσον ἀπὸ τοῦ συμβόλου τῶν στρουθῶν. οὐ πώποτέ μοι.] οὐδέποτέ μοι. τὸ κρήγυον.] τὸ ἀληθές, νῦν δὲ τὸ ἀγαθόν. εἶπες.] εἶπας, ἔλεξας. αἰεί τοι.] ἀεί, διὰ παντός. τὰ κάκ' ἐστὶ φίλα.] τὰ κακά ἐστι προσφιλῆ. φρεσί.] ταῖς διανοίαις. ἐσθλὸν δέ.] ἀγαθὸν δέ. οὐδέ τι πω.] οὐδέποτε. ἔπος.] λόγον. οὐδ' ἐτέλεσσας.] οὐδ' ἔργῳ δὲ ἐπλήρωσας. νῦν.] ἐν τῷ παρόντι καιρῷ. ἐν Δαναοῖσιν.] ἐν τοῖς Ἕλλησιν. θεοπροπέων.] μαντευόμενος. ἀγορεύεις.] δημηγορεῖς, λέγεις. ὡς δὴ τοῦδ' ἕνεκα.] ὡς ὅτι τούτου χάριν. σφίν.] αὐτοῖς τοῖς Ἕλλησιν. τεύχει.] παρέχει, ποιεῖ. οὕνεκα.] οὗ ἕνεκα, διότι. οὐκ ἔθελον.] οὐκ ἐβουλόμην. δέξασθαι.] λαβεῖν. οἴκοι ἔχειν.] ἐν τῷ οἴκῳ κατέχειν. καὶ γάρ ῥα.] καὶ γὰρ δή. Κλυταιμνήστρης.] τῆς Κλυταιμνήστρας γυναικός μου. ἡ δὲ Κλυταιμνήστρα Ἀγαμέμνονος γυνή, Τυνδάρεω δὲ καὶ Λήδας τῆς Θεστίου θυγάτηρ, Ἑλένης δὲ ἀδελφή. προβέβουλα.] προκέκρικα, προτιμῶ. κουριδίης ἀλόχου.] παρθενικῆς γυναικός. Διατί δὲ ὁ Ἀγαμέμνων τὴν αἰχμάλωτον τῆς γαμετῆς προκρίνει; λέγει γάρ, Κλυταιμνήστρης προβέβουλα. καὶ οἱ μέν φασιν ὅτι ἕνεκεν τοῦ μὴ δοκεῖν τοῖς Ἕλλησιν ἐφ' ὕβρει κατέχεσθαι τὴν κόρην. οἱ δὲ ὅτι ἐπαινεῖ τὴν Χρυσηΐδα, ἵνα μὴ τὰ τυχόντα τοῖς Ἕλλησιν, ἀλλὰ τὰ μέγιστα δοκῇ χαρίζεσθαι. ἔνιοι δὲ ὅτι ψευδόμενον ἀποδείκνυσι τὸν Κάλχαντα. πῶς γὰρ ὀργίζοιτο ἂν ὁ θεός, τῆς αἰχμαλώτου μηδὲν ἐφύβριστον πασχούσης. ἐπεὶ οὔ ἑθέν.] ἐπεὶ κατ' οὐδὲν αὐτῆς. χερείων.] χείρων, ἐλάσσων. οὐ δέμας.] κατὰ τὸ σῶμα. δέμας δὲ ὁ Ποιητὴς τὸ ἔμψυχον ἀεὶ λέγει, παρὰ τὸ δεδέσθαι καὶ συνεστηκέναι. οἷον, οὐ δέμας, οὐδὲ «
φυήν. καὶ πάλιν, δέμας δ' ἤϊκτο γυναικὶ καλῇ τε μεγάλῃ τε. καὶ ἀλλαχοῦ, οὐ δὲ ἔοικε θνητὰς ἀθανάτῃσι δέμας. σῶμα δὲ καλεῖ τὸ ἄψυχον, ἐπεὶ σῆμά τί ἐστι τοῦ ποτὲ ζῶντος. οἷον, σῶμα δὲ οἴκαδ' ἐμόν. καὶ ἐπὶ τοῦ Ἐλπήνορος πάλιν, σῶμα γὰρ ἐν Κίρκης «
κατελείπομεν. καὶ ἔτι, σώματ' ἀνηλέα κεῖται. Εὐριπίδης μέντοι ἐνηλλαγμένως λέγων, ἔτερον δὲ εὖ τὸ δ' ἦμαρ ἐξότου σφαγαῖς. Θανοῦσα μήτηρ πυρὶ καθήγνισται δέμας. Δέξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι. οὐδὲ φυήν.] οὐδὲ τὴν τοῦ σώματος «
εὐφυΐαν καὶ ἀρετήν. οὔτ' ἂρ φρένας.] οὔτε κατὰ τὰς φρένας. οὔτ' ἔτι ἔργα.] οὔτε κατὰ τὰ ἔργα. ἀλλὰ καὶ ὥς.] ἀλλὰ καὶ ὅμως. ἐθέλω.] θέλω, βούλομαι. δόμεναι.] δοῦναι. πάλιν.] εἰς τοὐπίσω. εἰ τό γ' ἄμεινον.] εἰ τοῦτο βέλτιον. σόον ἔμμεναι.] σῶον εἶναι, καὶ σώζεσθαι. ὁ δὲ λόγος, θέλω γάρ φησιν ἐγὼ τὸν ὄχλον μᾶλλον σώζεσθαι, ἢ αὐτὸς ἀπολέσθαι. ὁ γὰρ ἢ σύνδεσμος ἀντὶ τοῦ καὶ παρείληπται τῷ Ποιητῇ. λαόν.] ὄχλον, πλῆθος. ἢ ἀπολέσθαι.] ἢ ἀπολέσθαι ἐμέ. αὐτὰρ ἐμοί.] ἐμοὶ δέ. γέρας.] τιμήν. αὐτίκα.] παραχρῆμα, εὐθέως. ἑτοιμάσατ'.] ἑτοιμάσατε, ἑτοίμην ποιήσατε. ὄφρα μὴ οἶος.] ὅπως μὴ μόνος. Ἀργείων.] τῶν Ἑλλήνων. ἀγέραστος.] ἄνευ γερῶν, ἄνευ τιμῆς. ἔω.] ὑπάρχω. ἐπεὶ οὐδὲ ἔοικεν.] οὐδὲ γὰρ πρέπει. λεύσσετε.] ὁρᾶτε, βλέπετε. τό γε.] τοῦτο. ὅ μοι.] ὅτι μοι. ἔρχεται.] ἀπέρχεται. ἄλλῃ.] ἀλλαχοῦ.

ἠμείβετο.] ἐξ ἀμοιβῆς ἀπεκρίνατο. ἔπειτα.] μετὰ ταῦτα. ποδάρκης.] ἤτοι ὁ τοῖς ποσὶ ταχὺς, ἢ ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενος, ἰσχυρός. δῖος.] θεῖος, εὐγενής. κύδιστε.] ἐνδοξότατε. φιλοκτεανώτατε.] φιλοχρηματώτατε. πῶς γάρ τοι.] πῶς γάρ σοι. μεγάθυμοι.] μεγαλόψυχοι, γενναῖοι. Ἀχαιοί.] οἱ Ἕλληνες. Ἀχαιοὺς δὲ καὶ Δαναοὺς, καὶ Ἀργείους, ὁ ποιητὴς καλεῖ τοὺς Ἕλληνας. Δαναοὺς μὲν, ἀπὸ Δαναοῦ τοῦ Βήλου τοῦ Ποσειδῶνος. Ἀχαιοὺς δὲ, ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου, καὶ Κρεούσης τῆς Ἐρεχθέως. Ἀργείους δὲ, ἀπὸ Ἄργου Ἀπιδος καὶ Νιόβης τῆς Φορωνέως. Ἕλληνας δὲ, ψιλῶς, καλεῖ τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ λέγων. Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί. οὐδέ τί πω ἴδμεν.] οὐ δὲ ἐπιστάμεθα. ξυνήια.] κοινὰ χρήματα. κείμενα.] ἀποκείμενα. τά.] ἅτινα. πολίων.] πόλεων. ἐξεπράθομεν.] ἐξεπορθήσαμεν. τὰ δέδασται.] ταῦτα μεμέρισται. λαοὺς δ'.] τοὺς ὄχλους δέ. οὐκ ἐπέοικε.] οὐ προσῆκόν ἐστι. παλίλλογα.] παλισύλλεκτα. ἀντὶ τοῦ, οὐ δίκαιόν ἐστιν εἰς τὸ αὐτὸ πάλιν συναγαγεῖν τοὺς Ἕλληνας τὰ ἅπαξ φθάσαντα αὐτοῖς διαμερισθῆναι χρήματα. ἐπαγείρειν.] ἐπισυναθροίζειν. ἀλλὰ σὺ μὲν νῦν.] ἀλλὰ σὺ διὰ τοῦ παρόντος ὦ Ἀγάμεμνον. πρόες.] πρόπεμψον. θεῷ.] τῷ Ἀπόλλωνι. αὐτὰρ Ἀχαιοί.] οἱ δὲ Ἕλληνες. τριπλῇ τετραπλῇ τ'.] τριπλασίονα καὶ τετραπλασίονα. αἴκε ποθι Ζεύς.] ἐάν ποτε ὁ Ζεύς. δῶσι.] παράσχῃ. τὸ, σι, ἐπέκτασις. πόλιν Τροίην.] Τρωικὴν πόλιν. λέγει δὲ τὴν Ἴλιον. εὐτείχεον.] καλῶς τετειχισμένην. διὰ τὸ, ὑπὸ θεῶν τετειχίσθαι καθ' Ὅμηρον Ποσειδῶνος καὶ Ἀπόλλωνος. ἐξαλαπάξαι.] ἐκπορθῆσαι. κρείων.] βασιλεὺς, ἄναξ. μὴ δ' οὕτως.] μὴ δὲ οὕτως. ἀγαθός περ ἐών.] καίτοι γενναῖος ὑπάρχων. θεοείκελ'.] θεοῖς τὸ εἶδος ὅμοιε. ὁ ἐστι τὸ κάλλος. εὐειδὴς γὰρ παρὰ πάντας τοὺς ἥρωας, Ἀχιλλεὺς καὶ γυναικοπρόσωπος. ὡς καὶ ἐν τῷ Λυκομήδους παρθενῶνι ἀγνοηθῆναι ὅτι εἴη ἀνήρ. κλέπτε νόῳ.] παραλογίζου τῇ διανοίᾳ. ἐπεί.] ἐπειδή. οὐ παρελεύσεαι.] οὐ παρέλθῃς. οὐ νικήσεις με. ἀπὸ μεταφορᾶς τοῦ δρόμου, ἐν ᾧ παρελθὼν νικᾷ. ἦ ἐθέλεις.] ἢ βούλει. ὄφρ' αὐτός.] ὅπως αὐτός. γέρας.] τιμήν. αὐτὰρ ἔμ' αὔτως.] ἐμὲ δὲ ματαίως. ἧσθαι.] καθέζεσθαι. δευόμενον.] ἐνδεόμενον, χρῄζοντα. κέλεαι δέ με.] κελεύεις δέ με. ἀλλ' εἰ μέν.] ἀλλ' ἐὰν μέν. δώσουσι.] παράσχωσιν. μεγάθυμοι.] μεγαλόψυχοι. γενναῖοι. ἄρσαντες κατὰ θυμόν.] ἁρμόσαντες κατὰ τὴν ψυχήν. τουτέστιν, ἀρεστὸν καὶ θυμῆρες ποιήσαντες. ἀντάξιον.] ἴσον τῇ τιμῇ. ἄξιον, ἰσότιμον. ἔσται.] γένηται. εἰ δέ κε μὴ δώωσιν.] εἰ δὲ μὴ παράσχωσιν. ἐγὼ δέ κεν.] ἐγὼ δ' ἂν αὐτὸς ἕλωμαι.] αὐτὸς ἀφέλωμαι. ἢ τεόν.] ἢ τὸ σὸν, ὅ ἐστι τὴν Βρισηΐδα. ἢ Αἴαντος γέρας.] Τέκμησσαν λέγει τὴν Τελεύταντος θυγατέρα. ἰών.] παραγενόμενος. ἢ Ὀδυσῆος.] Λαοδίκην λέγει τὴν Κύκνου θυγατέρα. ταῦτα δὲ αἰνιγματωδῶς φησι. τὸ δὲ ὅλον ἀποτείνεται πρὸς Ἀχιλλέα. ἄξω.] ἀπάξω. ἑλών.] λαβών. ὁ δέ κεν.] οὗτος δὲ ἄν. κεχολώσεται.] ὀργισθήσεται. ὅν κεν ἵκωμαι.] ἐφ' ὃν ἂν παραγένωμαι, ἐφ' ὃν ἔλθω. ἀλλ' ἤτοι μὲν ταῦτα.] ἀλλὰ περὶ μὲν τούτων. μεταφρασόμεσθα.] καὶ ἐν ὑστέρῳ βουλευσόμεθα. καὶ αὖτις.] καὶ πάλιν. νῦν δ' ἄγε.] νῦν δὲ ἄγε δή. νῆα.] ναῦν. μέλαιναν.] βαθεῖαν, ἢ πίσσῃ κεχρισμένην. ἐρύσσομεν.] καθελκύσωμεν, ἐμβάλωμεν. εἰς ἅλα.] εἰς τὴν θάλασσαν. δῖαν.] θείαν ἢ θαυμαστήν. ἐς δ' ἐρέτας.] εἰς αὐτὴν δὲ κωπηλάτας. ἐπιτηδές.] ἐπιτηδείους. ἀγείρομεν.] συναθροίσωμεν. ἂν δ' αὐτήν.] καὶ αὐτὴν δέ. καλλιπάρῃον.] καλὰς παρειὰς ἔχουσαν, ἀπὸ μέρους καλήν. βήσομεν.] ἀναβιβάσωμεν, ἐμβάλωμεν. ἀρχός.] ἀρχηγὸς, ἡγεμών. νῦν δὲ, ναύαρχος. βουληφόρος.] βουλευτής. ἔστω.] γινέσθω. ἢ σύ.] ἢ σὺ Πηλείδη.] Πηλέως παῖ Ἀχιλλεῦ. ἐκπαγλότατε.] ἐκπληκτικώτατε, φοβερὲ, ἢ ἐξοχώτατε. ὄφρ' ἡμῖν.] ὅπως ἡμῖν. ἑκάεργον.] πόρρωθεν εἴργοντα, ἢ πόρρωθεν ἐργαζόμενον, τοξότην. ἱλάσσεαι.] ἐξιλεώσῃς, λιτανεύσῃς. ἱερά.] ἱερεῖα. θυσίας ῥέξας.

Τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς.
Ἀτρείδη κύδιστε, φιλοκτεανώτατε πάντων,
Πῶς γάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
Οὐδέ τί πω ἴδμεν ξυνήια κείμενα πολλά.
Ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται,
Λαοὺς δ' οὐκ ἐπέοικε παλίλλογα ταῦτ' ἐπαγείρειν.
Ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες, αὐτὰρ Ἀχαιοί
Τριπλῇ τετραπλῇ τ' ἀποτίσομεν, αἴκε ποθι Ζεὺς
Δῶσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων,
Μὴ δ' οὕτως ἀγαθός περ ἐὼν θεοείκελ' Ἀχιλλεῦ,
Κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι, οὐδέ με πείσεις,
Ἦ ἐθέλεις ὄφρ' αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ' αὔτως
Ἧσθαι δευόμενον, κέλεαι δέ με τήνδ' ἀποδοῦναι,
Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί,
Ἄρσαντες κατὰ θυμὸν, ὅπως ἀντάξιον ἔσται.
Εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
Ἢ τεὸν, ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος
Ἄξω ἑλών, ὁ δέ κεν κεχολώσεται, ὅν κεν ἵκωμαι.
Ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις,
Νῦν δ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν,
Ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐν δ' ἑκατόμβην
Θείομεν, ἂν δ' αὐτὴν Χρυσηΐδα καλλιπάρῃον
Βήσομεν, εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω.
Ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεύς.
Ἠὲ σὺ Πηλείδη πάντων ἐκπαγλότατ' ἀνδρῶν,
Ὄφρ' ἡμῖν ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Ὤμοι

ῥέξας.] ἱερουργήσας, θύσας. τὸν δ' ἄρ.] τοῦτον δὲ δή. ὑπόδρα ἰδών.] δεινὸν ὑποβλεψάμενος. προσέφη.] προσεῖπε, προσεφθέγξατο. ὤ μοι.] φεῦ μοι. ἔστι δὲ ἀναφώνημα, καὶ ἐπίρρημα λύπης δηλωτικόν. ἀναιδείην.] ἀναισχυντίαν. ἐπιειμένε.] ἠμφιεσμένε, περιβεβλημένε. κερδαλεόφρον.] πανοῦργε τὸ φρόνημα, ἢ περικερδῆ τὸν νοῦν ἔχων· τουτέστι κερδαίνειν φρονῶν. πῶς τίς τοι.] πῶς τίς σοι. πρόφρων.] προθύμως. ἔπεσι.] λόγοις. πείθηται.] πειθαρχῇ. ὁδόν.] ἢ εἰς ὁδὸν παραγενέσθαι, ὅ ἐστιν εἰς ἐνέδραν κατελθεῖν. ἶφι.] ἰσχυρῶς, γενναίως. μάχεσθαι.] πολεμῆσαι. οὐ γὰρ ἐγώ.] οὐδαμῶς γὰρ ἐγώ. Τρώων ἕνεκεν.] ἕνεκα τῶν Τρώων. ἤλυθον.] παρεγενόμην. αἰχμητάων.] πολεμικῶν. δεῦρο.] ἐνταῦθα. μαχησόμενος.] μαχούμενος, πολεμήσων. ἐπεὶ οὔτι μοι αἴτιοι εἰσίν.] ἐπειδὴ οὐδαμῶς, καὶ κατ' οὐδέν μοι αἴτιοι ὑπάρχουσιν. οὐ γὰρ πώποτε.] οὐδέποτε γάρ. ἐμὰς βοῦς ἤλασαν.] τὰς ἐμὰς ἤλασαν βοῦς. οὐδέ ποτε.] οὐδαμῶς, οὐδέποτε. ἐν Φθίῃ.] Φθία πόλις Θεσσαλίας παραθαλασσία πατρὶς Ἀχιλλέως. ἐριβώλακι.] μεγαλοβώλῳ, εὐγείῳ. βωτιανείρῃ.] ἄνδρας βοσκούσῃ, ἢ τρεφούσῃ. ἐδηλήσαντο.] ἔβλαψαν. ἐπεὶ ἦ μάλα.] ἐπειδὴ πάνυ. μεταξύ.] ἀναμέσον. οὔρεά τε.] καὶ ὄρη. Ἰάς ἡ διάλεκτος. σκιόεντα.] σύσκια, σκιὰν ἀποτελοῦντα. ἠχήεσσα.] ἠχητική, ἀπὸ τῆς τῶν κυμάτων κινήσεως. ὁ δὲ λόγος, οὐδέποτε ἠδίκησάν με οἱ Τρῶες, ἐπειδὴ μεταξὺ Φθίας καὶ Ἰλίου, πολλά ἐστι μέγιστα ὄρη, καὶ πολλὴ θάλασσα, ὡς μὴ εἶναί με αὐτῶν ἀστυγείτονα. ὦ μέγ' ἀναιδές.] ὦ μεγάλως ἀναιδέστατε. ἅμ' ἑσπόμεθα.] ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ἠκολουθήσαμεν. ὄφρα σὺ χαίρῃς.] ὅπως σὺ εὐφραίνῃ. τιμήν.] τιμωρίαν τῶν Τρώων ὑπὲρ Μενελάου. ἀρνύμενοι.] ἀντικαταλλασσόμενοι, λαμβάνοντες. σοί τε κυνῶπα.] ἀντὶ τοῦ, ὑπὲρ σοῦ ὦ ἀναιδέστατε. πρὸς Τρώων.] παρὰ τῶν Τρώων. τῶν οὔτι.] ὧν, εὐεργεσιῶν δηλαδή, οὐδέν. μετατρέπῃ.] ἐπιστροφὴν ποιῇ, ἢ φροντίζεις. οὐδ' ἀλεγίζεις.] οὐδὲ λόγον ποιῇ τινά.

Ὤ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον, +
Πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν,
Ἢ ὁδὸν ἐλθέμεναι, ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
Οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον αἰχμητάων
Δεῦρο μαχησόμενος, ἐπεὶ οὔ τι μοι αἴτιοί εἰσιν.
Οὐ γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους.
Οὐδέ ποτ' ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
Καρπὸν ἐδηλήσαντ', ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ,
Οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα.
Ἀλλὰ σοὶ ὦ μέγ' ἀναιδὲς ἅμ' ἑσπόμεθ', ὄφρα σὺ χαίρῃς,
Τιμὴν ἀρνύμενοι Μενελάῳ, σοί τε κυνῶπα
Πρὸς Τρώων, τῶν οὔ τι μετατρέπῃ, οὐδ' ἀλεγίζεις.
Καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς.
Ὧι ἔπι πόλλ' ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
Οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ' Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον,
Ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο,
Χεῖρες ἐμαὶ διέπουσ', ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται.
Σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ' ὀλίγον τε φίλον τε +
Ἔρχομ' ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων.
Νῦν δ' εἶμι Φθίηνδ', ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
Οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ' ὀΐω
Ἐνθάδ' ἄτιμος ἐὼν, ἄφενος καὶ πλοῦτον ἀφύξειν.
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Φεῦγε μάλ', εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ' ἔγωγε
Λίσσομαι εἵνεκ' ἐμεῖο μένειν, πάρ' ἔμοιγε καὶ ἄλλοι,
Οἵ κέ με

ἀφαιρήσεσθαι.] ἀφελέσθαι. ἀπειλεῖς.] ὑπισχνῇ, λέγεις. ὧ ἔπι.] ἐφ' ᾧ. ἀναστροφὴ ὁ τρόπος, ἀναστροφὴ δέ ἐστι δύο λέξεων τάξις ἐνηλλαγμένη, οἷον, λέων ὥς, ὡς λέων. ὄρνιθες ὥς, ὡς ὄρνιθες. ᾧ ἔπι, ἐφ' ᾧ. ἐμόγησα.] ἐκοπίασα, ἐκακοπάθησα. δόσαν δέ μοι.] παρέσχον δέ μοι αὐτό. υἷες Ἀχαιῶν.] περιφραστικῶς, οἱ Ἕλληνες. οὐ μὲν σοί ποτε] οὐδέποτε μὲν σοί. ἶσον.] ἐξίσου, ὅμοιον. ὁππότ' Ἀχαιοί.] ὁπόταν οἱ Ἕλληνες. ἐκπέρσωσιν.] ἐκπορθήσωσι, καταστρέψωσιν. εὖ ναιόμενον.] καλῶς οἰκούμενον. πτολίεθρον.] πόλισμα, πόλιν. πλεῖον.] πλεῖστον. πολυάϊκος.] πολλὰς ὁρμὰς καὶ κινήσεις ἔχοντος, ἀστάτου. πολέμοιο.] τοῦ πολέμου. χεῖρες ἐμαὶ διέπουσιν.] αἱ ἐμαὶ χεῖρες διοικοῦσιν. δασμός.] μερισμὸς, τῶν λαφύρων δηλονότι. ἵκηται.] παραγένηται. πολὺ μεῖζον.] κατὰ πολὺ μεῖζον. ὀλίγον τε φίλον τε.] ἐμοὶ ἐλάχιστόν τι ἔρχεται, καὶ τοῦτο προσφιλὲς ἡγοῦμαι. ἐπὴν κεκάμω πολεμίζων.] καὶ ταῦτα, ἐπειδὰν κακοπαθήσω πολεμῶν. νῦν δ' εἶμι Φθίηνδε.] νῦν οὖν πορεύομαι εἰς τὴν Φθίαν. ἐπεί.] ἐπειδή. πολὺ φέρτερον.] κατὰ πολὺ κρεῖσσον, βέλτιον. ἐστίν.] ὑπάρχει. οἴκαδ' ἴμεν.] εἰς τὸν οἶκον παραγενέσθαι. σὺν νηυσί.] σὺν ταῖς ναυσί. κορωνίσιν.] ἐπικαμπεῖς τὰς ἄκρας ἐχούσας· ὅ ἐστι τὰς πρύμνας, ἢ μελαίνας. κορὸν γὰρ τὸ μέλαν. οὐδέ σ' ὀΐω.] οὐχ ὑπολαμβάνω δέ σε. ἐνθάδ' ἄτιμος ἐών.] ἐνταῦθα ἀτιμαζόμενος. ἐνήλλακται δὲ ἡ πτῶσις. ἀντὶ γὰρ γενικῆς, κέχρηται ὀνομαστικῇ. ὅ ἐστι σχῆμα. ἄφενος.] πλοῦτον. κυρίως δὲ ἄφενος λέγεται, ὁ ἀφ' ἑνὸς ἐνιαυτοῦ περιουσία. πλοῦτος δὲ, ὁ ἀπὸ πολλῶν. ἀφύξειν.] ἀπαντλήσειν, προσπορεύσειν. τὸ δὲ ὅλον, οὐχ ὑπολαμβάνω δέ σε φησίν, ἐμοῦ ἀπόντος καταστρέψαι τὴν Ἴλιον, καὶ πολὺν πλοῦτον λαβεῖν. μάλα.] λίαν, πάνυ. εἴ τοι θυμός.] εἰ ἡ ψυχή σου. τοῦτο δὲ τὸ ὄνομα παρὰ τῷ Ποιητῇ σημαίνει τὴν ὀργήν. ὡς τὸ, θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων. τὴν ψυχήν. ὡς ὅταν εἴπῃ, μελιηδέα θυμὸν ἀπηύρα. τὴν ἐπιθυμίαν, ὡς τὸ, ᾧ θυμῷ εἴξας μίγη φιλότητι καὶ εὐνῇ. τὸν ἐπιλογισμόν. ἕτερος δέ με θυμὸς ἀνώγει. καὶ τὴν ὁμόνοιαν, ὡς ἀντὶ τοῦ, ἀλλ' ἕνα θυμὸν ἔχοντε, νόῳ καὶ ἐπίφρονι βουλῇ.

ἐπέσσυται.]

ἐπίστανται.] ἐφορμᾶται, ἐπέρχεται, ἐπιθυμεῖ. οὐδέ σ' ἔγωγε.] οὐ γὰρ ἐγώ σε. λίσσομαι.] λιτανεύω, παρακαλῶ. εἵνεκ' ἐμεῖο.] ἕνεκα ἐμοῦ. πάρ' ἐμοίγε.] πάρεισι γάρ μοι. οἵ κέ με.] οἵτινες ἄν με. τιμήσουσι.] τιμῆς ἀξιώσουσι. μάλιστα δέ.] διαφερόντως δέ. μητίετα.] ἀντὶ τοῦ μητιέτης. ὅ ἐστι βουλευτικός. Βοιωτῶν δὲ καὶ Αἰολέων, ὁ τοιοῦτος τῶν ὀνομάτων μετασχηματισμός, οἷον· αὐτὰρ ὁ αὖτε Θυέστα ἀντὶ τοῦ ὁ Θυέστης, καὶ ἱππηλάτα ἀντὶ τοῦ ἱππηλάτης, καὶ Νεφεληγερέτα ἀντὶ τοῦ Νεφεληγερέτης. καὶ Κυανοχαῖτα ἀντὶ τοῦ Κυανοχαίτης. παρ' ἡμῖν δὲ οὐδὲν ἀρσενικὸν ὄνομα, ὥστε τῆς εὐθείας εἰς α λήγει.

Οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.
Ἔχθιστος δέ μοι ἐσσὶ διοτρεφέων βασιλήων.
Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε.
Εἰ μάλα καρτερός ἐσσι, θεός που σοὶ τόγ' ἔδωκεν.
Οἴκαδ' ἰὼν σὺν νηυσί τε σῇς, καὶ σοῖς ἑτάροισι,
Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
Οὐδ' ὄθομαι κοτέοντος, ἀπειλήσω δέ τοι ὧδε,
Ὡς ἔμ' ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος Ἀπόλλων,
Τὴν μὲν ἐγὼ σὺν νηΐ τ' ἐμῇ, καὶ ἐμοῖς ἑτάροισι
Πέμψω, ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρειον
Αὐτὸς ἰὼν κλισίην δὲ τὸ σὸν γέρας, ὄφρ' εὖ εἰδῇς
Ὅσσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος
Ἶσον ἐμοὶ φάσθαι, καὶ ὁμοιωθήμεναι ἄντην.
Ὣς φάτο, Πηλείωνι δ' ἄχος γένετ', ἐν δέ οἱ ἦτορ
Στήθεσιν λασίοισι διάνδιχα μερμήριξεν,
Ἢ ὅγε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ.
Τοὺς μὲν ἀναστήσειεν, ὁ δ' Ἀτρείδην ἐναρίζοι,
Ἦε χόλον παύσειεν, ἐρητύσειέ τε θυμόν
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν.
Ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος. ἦλθε δ' Ἀθήνη
Οὐρανόθεν, πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη,
Ἄμφω

ἔχθιστος.] ὁ ἐχθρότατος. ἐσσί.] ὑπάρχεις. διοτρεφέων.] τῶν σὺν Διὸς τῇ γνώμῃ τεθραμμένων. ἐπεὶ τῆς αὐτῆς σειρᾶς ἄσιν. ὡς καὶ Ἡσίοδός φησιν· ἐκ γάρ τοι Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί, ἐκ δὲ Διὸς βασιλῆες. βασιλήων.] βασιλέων. Ἰὰς ἡ διάλεκτος. αἰεὶ γάρ τοι.] διαπαντὸς γάρ σοι. ἔρις τε.] φιλονεικία. φίλη.] προσφιλής. πόλεμοί τε.] καὶ οἱ πόλεμοι. εἴρηται δὲ πόλεμος, οἱονεὶ πολύαιμός τις ὤν. μάχαι τε.] καὶ μάχαι. εἰ μάλα.] ἐὰν πάνυ. καρτερός.] ἰσχυρός, γενναῖος. θεός που σοί.] θεὸς δή σοι. τόγ' ἔδωκεν.] τοῦτο παρέσχεν. οἴκαδ' ἰών.] εἰς τὸν οἶκον σου παραγενόμενος. σὺν νηυσί τε σῇς.] σὺν ταῖς σαῖς ναυσί. σοῖς ἑτάροισι.] καὶ τοῖς σοῖς ἑταίροις τοῖς Μυρμιδόσι λέγει. Μυρμιδόνεσσιν ἄνασσε.] τῶν Μυρμιδόνων βασίλευε. Αἴγιναν τὴν τοῦ Ἀσωποῦ τοῦ ποταμοῦ Θηβῶν θυγατέρα ἁρπάσας ὁ Ζεύς, κατῆλθεν εἰς Φλιοῦντα, καὶ φθάρας τὴν προειρημένην ἐγέννησεν Αἰακόν. ἥτις Αἰακὸν ἐγέννησεν. Ἀσωπὸς δὲ, τὴν θυγατέρα ζητῶν, ἔμαθε παρὰ Σισύφου, καὶ τὸν ἁρπάσαντα, καὶ τὸν τόπον, εἰς ὃν κατηλήλυθε. μὴ μελλήσας οὖν, ἐπιστὰς. μέλλων δὲ ὁ Ζεὺς ἐπ' αὐτοφώρῳ καταλαμβάνεσθαι, τὴν μὲν Αἴγιναν, μετεμόρφωσεν εἰς ὁμώνυμον νῆσον. αὐτὸς δὲ μετέβαλεν εἰς λίθον. ἐλθὼν δὲ ὁ Ἀσωπὸς, καὶ μὴ δ' ὄντα τινὰ καταλαβὼν, ἔμπαλιν εἰς τὰς ἰδίας ὑπέστρεψε πηγάς. βουλόμενος δὲ ὁ Ζεὺς τιμωρῆσαι τὸν μηνύσαντα, ἀνάγκασεν αὐτὸν ἐν τοῖς ὑποχθονίοις, τοσοῦτον μέγεθος πέτρον ἀνωθεῖν, εἰς ὅσον αὐτὸς μετεβλήθη. Αἰακοῦ δὲ ἐν τῇ νήσῳ μόνου ὄντος, ὁ Ζεὺς κατοικτείρας, τοὺς αὐτόθι μύρμηκας μετέβαλεν εἰς ἀνθρώπους· ἀφ' ἧς αἰτίας Μυρμιδόνες ἐκλήθησαν. σέθεν δ' ἐγώ.] σοῦ δὲ ἐγώ. οὐκ ἀλεγίζω.] λόγον οὐ ποιοῦμαι. οὐ φροντίζω. οὐδ' ὄθομαι.] οὐδὲ ἐπιστροφὴν ποιοῦμαι. κοτέοντος.] ὀργιζομένου. ἀπειλήσω δέ τοι.] ἀπειλήσω δέ σοι. ὧδε.] οὕτως. ὡς ἔμ' ἀφαιρεῖται.] ὥσπερ ἐμοῦ λαμβάνει. τὴν μὲν ἐγώ.] ταύτην μὲν ἐγώ. σὺν νηΐ τ' ἐμῇ.] σὺν τῇ ἐμῇ νηΐ. πέμψω.] ἀποπέμψω. ἐγὼ δέ κ' ἄγω.] ἐγὼ δὲ ἀπαγάγω. αὐτὸς ἰών.] δι' ἐμαυτοῦ παραγενόμενος. κλισίην.] εἰς τὴν σκηνήν. τὸ σὸν γέρας.] τὴν σὴν τιμήν. ὄφρ' εὖ εἰδῇς.] ὅπως σαφῶς μάθῃς. ὅσσον.] ὁπόσον. φέρτερος.] κρείσσων. εἰμί.] ὑπάρχω. σέθεν.] σοῦ. στυγέῃ δέ.] μισήσῃ, εὐλαβηθῇ. ἶσον ἐμοὶ φάσθαι.] ἰσηγορῆσαί μοι. τουτέστιν ἐξ ἴσου πρὸς ἐμὲ λέγειν. καὶ ὁμοιωθήμεναι.] καὶ ἐξισωθῆναι. ἄντην.] ἐξεναντίας. ὣς φάτο.] οὕτως εἶπεν. Πηλείωνι.] τῷ Πηλέως παιδὶ Ἀχιλλεῖ. ἄχος γίνετο.] λύπη ἐγένετο. ἐν δέ οἱ ἦτορ.] ἡ δὲ ψυχὴ αὐτοῦ. στήθεσι λασίοισιν.] ἐν τοῖς δασέσι καὶ συνετοῖς. νῦν δὲ περὶ τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς φησι. ἀφ' οὗ λέγει στήθεσιν, ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ τὸ πυρῶδες καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς. διάνδιχα.] διχῶς. μερμήριξεν.] ἐμερίμνησεν, ἐνεθυμήθη. ἤ ὅγε.] ἤπερ οὗτος, φάσγανον.] ξίφος. ἐρυσσάμενος.] σπασάμενος, ἑλκύσας. τοὺς μέν.] ἀντὶ τοῦ τοὺς μὲν Ἕλληνας. ἀναστήσειεν.] ἀναστάτους, καὶ ἐν ταραχῇ ποιήσειε, ὅπερ ἐστὶ φυγάδας καταστήσειεν. ἐναρίζοι.] φονεύσειε. ἢ χόλον παύσειεν.] ἢ τὴν μανίαν παύσειεν. ἐρητύσειέ τε θυμόν.] καὶ ἐπίσχῃ τὴν ὀργήν. ἕως ὁ.] ἕως οὗτος. ὥρμαινε.] ἐνεθυμεῖτο, διενοεῖτο. κατὰ φρένα.] καὶ κατὰ φρένα, καὶ κατὰ θυμόν.] κατὰ τὸν νοῦν, καὶ κατὰ τὴν διάνοιαν. ἕλκετο.] εἷλκεν. ἐκ κολεοῖο.] ἐκ τῆς ξιφοθήκης. οὐρανόθεν.] ἐκ τοῦ οὐρανοῦ φησι παραγίνεται ἡ Ἀθηνᾶ. ὅ ἐστιν ἡ φρόνησις. δεῖ γὰρ ὄντως αὐτὴν καταβαίνειν, ὡς καὶ τῆς κόμης αὐτὸν κρατεῖ, καὶ οὐκ ἄλλου μέρους τοῦ σώματος, ἀλλ' ἵνα ἵδρυται τὸ λογικὸν τῆς ψυχῆς μέρος, εὐλόγως δὲ καὶ οἱ μυθογράφοι φασὶν ὅτι ἐγκύμονα οὖσα ἡ μῆτις τὴν Ἀθηνᾶν κατεπόθη ὑπὸ τοῦ Διός. καὶ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ τῷ ἡρμοσμένῳ τῆς ἀποκυήσεως χρόνῳ, ἐξέθορεν ἡ θεὸς σὺν ὅπλοις. Ἀπολλόδωρος ἱστορεῖ.

πρὸ γὰρ ἧκε.

πρὸ γὰρ ἧκε.] προέπεμψε γὰρ αὐτήν. ἄμφω.] ἀμφοτέρους. ὁμῶς.] ὁμοίως. θυμῷ.] τῇ ψυχῇ. φιλέουσα.] φιλοῦσα. κηδομένη τε.] καὶ φροντίζουσα. στῆ δέ.] ἔστη δέ. ξανθῆς δέ.] καλῆς, πυῤῥᾶς, καὶ διὰ τοῦτο δέ φασιν αἰνίττεσθαι τὸ θερμὸν καὶ ὀργίλον τοῦ ἥρωος· οἱ γὰρ ξανθόχολοι τοιοῦτοι. κόμης.] τῆς τριχώσεως. εἴρηται δὲ παρὰ τὸ κόσμον εἶναι τοῦ σώματος. ἕλεν.] ἔλαβεν. οἴῳ φαινομένη.] μόνῳ αὐτῷ φαινομένη καὶ ὁρωμένη, μόνος γὰρ αὐτὸς τὸν οἰκεῖον δαίμονα, ἢ τὴν ἐν αὐτῷ φρόνησιν ἑώρα. τῶν δ' ἄλλων.] τῶν δὲ λοιπῶν. οὔτις ὁρᾶτο.] οὐδεὶς ἑώρα καὶ ἔβλεπε. θάμβησεν.] ἐφοβήθη. ἐξεπλάγη. μετὰ δ' ἐτράπετο.] καὶ περιεστράφη. αὐτίκα δ' ἔγνω.] παραχρῆμα δὲ ἐπέγνω. Παλλάδα.] τὴν Ἀθηνᾶν

Ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε.
Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα
Οἴῳ φαινομένη, τῶν δ' ἄλλων οὔτις ὁρᾶτο.
Θάμβησεν δ' Ἀχιλλεύς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην, δεινὼ δέ οἱ ὄσσε φάανθεν,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
Τίπτ' αὖτ' Αἰγιόχοιο Διὸς τέκος εἰλήλουθας.
Ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρείδαο.
Ἀλλ' ἔκτοι ἐρέω, τὸ δὲ, καὶ τετελέσθαι οἴω,
Ἧς ὑπεροπλέῃσι τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη.
Ἦλθον ἐγὼ παύσουσα τεὸν μένος, αἴ κε πίθηαι,
Οὐρανόθεν, πρὸ δέ μ' ἧκε θεὰ λευκώλενος Ἥρη
Ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε, κηδομένη τε.
Ἀλλ' ἄγε λῆγ' ἔριδος, μὴ δὲ ξίφος ἕλκεο χειρί.
Ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον ὡς ἔσεταί περ.
Ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται.
Καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα
Ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Χρὴ μὲν σφωΐτερόν γε θεὰ ἔπος εἰρύσσασθαι
Καὶ μάλα περ θυμῷ κεχολωμένον, ὧς γὰρ ἄμεινον
Ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ.
Ἦ, καὶ ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν.
Ἂψ δ' ἐς κουλεὸν ὦσε μέγα ξίφος, οὐδ' ἀπίθησε
Μύθῳ Ἀθηναίης, ἡ δ' Οὔλυμπον δὲ βεβήκει,
Δώματ' ἐς Αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους,

Πηλείδης

ἐπιθετικῶς· ἤτοιγε ἀπὸ τοῦ πάλλειν, καὶ κραδαίνειν τὸ δόρυ· πολεμικὴ γὰρ ἡ θεός, ἢ ὅτι Πάλλαντα ἕνα τῶν γιγάντων ἀπέκτεινεν. ἢ ἀπὸ τοῦ ἀναπαλθῆναι αὐτὴν ἐν τῇ κεφαλῇ τοῦ Διός. ἢ διὰ τὸ πάλλομένην τὴν καρδίαν τοῦ Διονύσου προσκομίσαι τῷ Διί. δεινὼ δέ οἱ.] φοβερῶ δὲ αὐτῷ δυνάμως. ὄσσε.] ὄμματα· ὀφθαλμοί. φάανθεν.] ἐφάνησαν. καί μιν.] καὶ αὐτήν. φωνήσας.] προσειπών, καλέσας. ἔπεα πτερόεντα.] λόγους ταχεῖς· λόγου γὰρ οὐδὲν ταχύτερον. προσηύδα.] προσεῖπεν. τίπτ' αὖ.] τί δὲ ποτε· συγκοπὴ ὁ τρόπος. Αἰγιόχοιο.] αἰγίδα ἔχοντος. Αἰγὶς δέ ἐστιν ὅπλον Διὸς ἡφαιστότευκτον. εἰλήλουθας.] ἐλήλυθας, παραγέγονας· ἡ δὲ διάλεκτος Ἰώνων. ἦ ἵνα.] ἢ ὅπως. ὕβριν.] νῦν τὸν φόνον. ἢ μᾶλλον τὴν ἀλαζονείαν. ἀλλ' ἔκτοι ἐρέω.] ἀλλ' ἐρῶ δή σοι. τὸ δὲ καὶ τετελέσθαι οἴω.] ὅπερ καὶ πληρωθήσεσθαι ὑπολαμβάνω. ἧς ὑπεροπλέῃσι.] ταῖς ἰδίαις ὑπερηφανίαις. τάχ' ἄν ποτε.] ταχέως ἄν ποτε. ὀλέσσῃ.] ἀπολέσῃ. τὸν δ' αὖτε.] τοῦτον δὲ πάλιν. προσέειπε.] προσεῖπεν. Γλαυκῶπις.] ἡ γλαυκόφθαλμος, ἢ γλαυκοὺς καὶ καταπληκτικοὺς ὦπας ἔχουσα. ἦλθον.] παραγενόμην. Παύσουσα.] καταπαύσουσα. τεὸν μένος.] τὴν σὴν ὀργήν. αἴ κε πίθηαι.] ἐὰν πεισθῇς ἐμοί. πρὸ δέ μ' ἧκε.] προέπεμψε δέ με. ἄμφω ὁμῶς.] ἀμφοτέρους ὁμοίως. φιλέουσά τε.] φιλοῦσα. κηδομένη τε.] καὶ φροντίζουσα. ἀλλ' ἄγε.] ἀλλὰ φέρε. ἔστι δὲ ἐπίῤῥημα παρακελεύσεως ἢ ἐπιῤῥηματικὸν μόριον. λῆγε.] παῦε. ἔριδος.] φιλονεικίας. ἕλκεο.] ἕλκε. ἀλλ' ἤτοι ἔπεσιν μέν.] διὰ μὲν λόγων. ὀνείδισον.] ὕβρισον. ὡς ἔσεταί περ.] ὥσπερ καὶ γενήσεται. ὧδε γάρ.] οὕτως γάρ. ἐξερέω.] ἐρῶ· λέξω. τὸ δὲ καὶ τετελεσμένον ἔσται.] ὅπερ καὶ τελειωθήσεται. καί ποτέ τοι.] καί σοι ποτέ, προαναφώνησις ὁ τρόπος. τρὶς τόσσα.] πολλάκις τοσαῦτα. οὐ γὰρ τριπλάσια αὐτῷ παρασχεῖν παρὰ Ἀγαμέμνονος· ἀλλὰ σὺν τῇ Βρισηΐδι πολλὰ ἄλλα ὡς αὐτός φησιν ἐν τῷ ι. παρέσσεται.] δωθήσεται. ὕβριος εἵνεκα τῆσδε.] ὑπὲρ ταύτης τῆς ὕβρεως, ἡ διάλεκτος Ἰάς. ἀγλαά.] καλά. πόδας ὠκύς.] τοῖς ποσὶ ταχύς. σὺ δ' ἴσχεο.] σὺ δὲ παύου. πείθεο δ' ἡμῖν.] καὶ πείθου ἡμῖν. χρή.] προσῆκόν ἐστι. πρέπει. σφωΐτερον.] ὑμέτερον. εἰρύσσασθαι.] φυλάξαι. καὶ μάλα.] καὶ πάνυ. κεχολωμένον.] ὠργισμένον. ὧς γὰρ ἄμεινον.] οὕτω γὰρ βέλτιον. ὅς κεν.] ὃς ἄν. ἐπιπείθηται.] πείθηται ἀκούσῃ. μάλα τ' ἔκλυον αὐτοῦ.] λίαν ἐπακούουσιν αὐτοῦ. ἦ.] ἔφη, εἶπεν. ἀργυρέῃ.] ἀργυρᾷ, καλῇ. κώπῃ.] τῇ λαβίδι τοῦ ξίφους. σχέθε.] ἐπέσχεν, ἐπέβαλεν. ἄψ.] πάλιν· εἰς τοὐπίσω. βαρεῖαν.] ἰσχυρὰν. μεγάλην. κουλεόν.] τὴν ξιφοθήκην. ὦσεν.] ἀπεώσατο· ἐνέβαλεν. οὐδ' ἀπίθησεν.] οὐδ' ἠπείθησεν· ἀλλ' ἐπείσθη. μύθῳ.] τῷ λόγῳ. Ἀθηναίης.] τῆς Ἀθηνᾶς. ἡ δέ.] αὕτη δέ. Οὔλυμπον δέ.] εἰς τὸν Οὔλυμπον. βεβήκει.] ἀπεληλύθει. ἐπορεύθη. μετὰ δαίμονας.] μετὰ τοὺς θεούς. οὕτως δὲ δαίμονας καλεῖ τοὺς θεούς. ἤτοι δαήμονας, ἔμπειροι γὰρ καὶ ἴδρεις πάντων αὐτοί εἰσιν. ἢ ὅτι διαιτηταί εἰσι καὶ διοικηταὶ τῶν ἀνθρώπων. Ἀλκμὰν ὁ λυρικός φησιν. οἳ ἔθεν πάλοις ἔπαλε δαήμονας τ' ἐδάσατο. τοὺς μερισμοὺς τὰς διαιτήσεις αὐτῶν. Ἡσίοδος δὲ δαίμονάς φησι τοὺς ἐκ τοῦ ζῆν μεταστάντας· ὄντας δὲ ἐπὶ τῆς τοῦ Κρόνου βασιλείας τοῦ χρυσοῦ γένους λέγων αὐτοὺς δαίμονας φύλακας θνητῶν ἀνθρώπων.

ἐξαῦτις

ἐξαῦτις.] ἐκ δευτέρου, εὐθέως, παραυτά. ἀταρτηροῖς.] ἀτηροῖς, χαλεποῖς. λῆγε.] ἐπαύετο. χόλοιο.] τῆς ὀργῆς. ἐπέεσσιν.] ἔπεσι, λόγοις. οἰνοβαρές.] οἰνοβεβαρημένε, μέθυσε. κυνὸς ὄμματ' ἔχων.] ἀντὶ τοῦ ἀναιδέστατε ὡς κύων. κραδίην δ' ἐλάφοιο.] τὴν δὲ καρδίαν ἐλάφου. τοῦτ' ἔστι δειλὲ ὡς ἔλαφος. κραδίην.] καρδίαν. τὸ δὲ πάθος τῆς λέξεως, μετάθεσις. καὶ κραδίη δὲ ἐλελίχθη. εἴρηται δὲ ἀπὸ τοῦ κραδαίνεσθαι καὶ πάλλεσθαι ἀεὶ τὸ τῆς καρδίας σπλάγχνον. ἅμα λαῷ.] ἅμα τῷ ὄχλῳ. θωρηχθῆναι.] καθοπλισθῆναι. λόχον.] ἐνέδραν. ἰέναι.] παραγενέσθαι. σὺν ἀριστήεσσι.] σὺν τοῖς ἀρίστοις ἡγεμόσι. τέτληκας.] κεκαρτέρηκας, ὑπομεμένηκας. θυμῷ.] τῇ ψυχῇ. τὸ δέ τοι.] δεικτικώτερον καὶ ἀναφορικώτερον. κήρ.] θάνατος. τοῦτο γάρ φησι τὸ ἐν πολέμῳ ἢ λόχῳ εὑρεθῆναι, ὡς θάνατός μοι σκοτόν σοι φαίνεται. εἴδεται.] φαίνεται, δοκεῖ. ἦ πολὺ λώϊον.] ἀλλ' ὄντως δήσοι τοῦτο καλὸν εἶναι νομίζεται. κατὰ στρατόν.] κατὰ τὸ στρατόπεδον. εὐρύν.] πλατὺν καὶ μέγιστον. δῶρ' ἀποαιρεῖσθαι.] τὰ παρ' ἄλλῳ τινὶ διδόμενα δῶρα ἀφαιρεῖσθαι. ὅστις σέθεν.] ὅστις σοῦ. ἀντίον.] ἐξ ἐναντίας. δημοβόρος.] ὁ τὰ δημόσια κατεσθίων. οὐτιδανοῖσιν.] οὐδενὸς λόγου ἀξίοις, ἀσθενέσιν. ἀνάσσεις.] βασιλεύεις. ἦ γὰρ ἂν Ἀτρείδη.] ὄντως γὰρ δὴ υἱὲ τοῦ Ἀτρέως Ἀγάμεμνον. ὕστατα λωβήσαιο.] ὑστάτην ἂν ταύτην τὴν ὕβριν ἐργάσω. φονευθεὶς ἐν αὐτῇ ὑπὸ πάντων. βλαβεὶς, ὑβρισθείς. ἀλλ' ἔκ τοι ἐρέω.] ἀλλ' ὁρῶ δήσοι. ὀμοῦμαι.] ὀμόσω. ἐπόμνυσθαί ἐστι τὸ ὑπισχνούμενον ὀμόσαι, ἀπομνύναι δὲ, τὸ ἀποφάσκειν. ναὶ μὰ τόδε σκῆπτρον.] ναὶ μὰ τοῦτο τὸ σκῆπτρον. πεπλεόνακε τὸ μὰ ἀρνητικὸν ὄντως ἀπομοτικὸν μόριον κατὰ Ἀττικὸν ἔθος. ὤμνυε γὰρ ἅπαν νὴ τοῦτο τὸ σκῆπτρον. ἰστέον δὲ ὅτι διὰ τοῦ σκήπτρου ὄμνυσιν αὐτοῦ τοῦ ἐφόρου τῶν βασιλέως θεόν. τὸ μὲν οὔποτε.] ὅπερ οὐδέποτε ἂν. παραβολὴ ὁ τρόπος. ὄζους.] κλάδους. φύσει.] ἀναβλαστήσει. Διατί ὁ Ἀχιλλεὺς σκῆπτρον ἔχει; καὶ λέγομεν ὅτι εἰ καὶ μὴ πάντων τῶν Ἑλλήνων ἐβασίλευε, τῶν μέντοι Μυρμιδόνων ἦρχεν. ἐπειδὴ πρῶτα.] ἐπειδὴ ἅπαξ τὸ πρῶτον καὶ τὴν ἀρχήν. τὸ μὲν ἐν ὄρεσσι λέλοιπε.] τὴν τμῆσιν. ὅ ἐστι τὴν ῥίζαν αὐτοῦ τμηθὲν ἐν τῷ ὄρει κατέλειψεν. οὐδ' ἀναθηλήσει.] οὐ δὲ ἀναβλαστήσει. περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε.] περιελέπισε γὰρ αὐτὸ ὁ σίδηρος ὅ ἐστιν ἔγλυψε. φύλλα τε καὶ φλοιόν.] τά τε φύλλα καὶ τὸν φλοιόν. φλοιὸς δέ ἐστι τὸ καλούμενον λέπος. νῦν αὖτέ μιν.] νῦν αὐτὸ πάλιν. υἷες Ἀχαιῶν.] περιφραστικῶς οἱ Ἕλληνες. ἐν παλάμῃς.] ἐν ταῖς χερσί. φορέουσι.] φοροῦσι, βαστάζουσι. δικασπόλοι.] οἱ περὶ τὰς δίκας ἀναστρεφόμενοι βασιλεῖς καὶ νόμους. θέμιστας.] δικαιοσύνας, νόμους. πρὸς Διός.] παρὰ τοῦ Διός. εἰρύαται.] ῥύονται, φυλάσσουσι. τὸ δὲ ὅλον. οἵτινες τὰς δίκας, καὶ τοὺς νόμους παραλαβόντες φυλάττουσιν. ὁ δέ τοι.] οὗτος δέ σοι. ἔσσεται.] γενήσεται. ἦ ποτ' Ἀχιλλῆος.] ὄντως δήποτε ἐμοῦ τοῦ Ἀχιλλέως. ποθή.] πόθησις ἐπιζήτησις. ἵξεται.] παραγενήσεται. ξύμπαντας.] ὁμοῦ πάντας. τοῖς δ' οὔτι.] τούτοις δὲ οὐδέν. δυνήσεαι.] δυνήσῃ. ἀχνύμενός περ.] καίπερ λυπούμενος. χραισμεῖν.] βοηθεῖν. εὖτ' ἄν.] ὁπότ' ἄν. πολλοί.] πλεῖστοι. ὑφ' Ἕκτορος.] ὑπὸ τοῦ Ἕκτορος. ἀνδροφόνοιο.] ἀνδροφόνου, πολεμικοῦ. Διατί τὸν Ἕκτορα ἀνδροφόνον προσηγόρευσε καὶ οὐ χαλκοκορυστὴν ἢ ἱππόδαμον; ῥητέον ὅτι ἀνδροφόνον αὐτὸν εἴρηκε, πρὸς κατάπληξιν τῶν ἀκουόντων. εἴωθε δὲ τηρεῖν τὰ ἐπίθετα εὐστόχως. καὶ ἄλλως ῥητέον ὅτι ἐν ᾧ τίς ἐστι μέγας ἀεὶ καὶ εὐδοκιμῶν, ἐκ τούτου καὶ ἄλλους ἐπαινεῖ. καὶ γὰρ ὁ Ἀχιλλεὺς ἥδετο μὲν Διογενὴς καλούμενος, οὐχ ἧττον δὲ ἐπέχαιρε καὶ τῇ ἀνδροφονίᾳ. κἀκ τούτου λέγει τὸν Ἕκτορα ἀνδροφόνον. θνήσκοντες.] ἀποθνήσκοντες, πίπτοντες νεκροί. σὺ δ' ἔνδοθι.] σὺ δὲ ἔσωθεν. θυμόν.] τὴν ψυχήν. ἀμύξεις.] σπαράξεις, πληγώσῃς. χωόμενος.] λυπούμενος ὀργιζόμενος. οὐδὲν ἔτισας.] κατ' οὐδὲν ἐτίμησας. ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ.] προσέβαλε δὲ καὶ προσέρριψε τῇ γῇ τὸ σκῆπτρον διὰ τὴν ὀργήν. ἡ διάλεκτος Δωριέων. χρυσείοις ἥλοισι πεπαρμένον.] χρυσοῦς ἥλους ἔχον καὶ διαπεπερονημένον αὐτοῦ ἠσφαλισμένον. ἕζετο.] ἐκαθέζετο. ἑτέρωθεν.] ἐκ τοῦ ἑτέρου μέρους, ἐξεναντίας. ἐμήνιε.] ὠργίζετο. ἡδυεπής.] ὁ ἡδὺς ἐν τῷ λέγειν

Πηλεΐδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν
Ἀτρεΐδην προσέειπε, καὶ οὔπω λῆγε χόλοιο.
+ Οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,
Οὔτε ποτ' ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι
Οὔτε λόχον δ' ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν
Τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ εἴδεται εἶναι.
Ἦ πολὺ λώϊόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
Δῶρ' ἀποαιρεῖσθαι ὅς τις σέθεν ἀντίον εἴπῃ.
Δημοβόρος βασιλεύς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις.
Ἦ γὰρ ἂν Ἀτρεΐδη νῦν ὕστατα λωβήσαιο.
Ἀλλ' ἔκ τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι,
Ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔποτε φύλλα καὶ ὄζους +
Φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
Οὐδ' ἀναθηλήσει, περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε,
Φύλλα τε καὶ φλοιόν, νῦν αὖτέ μιν υἷες Ἀχαιῶν,
Ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵτε θέμιστας
Πρὸς Διὸς εἰρύαται, ὃ δέ τοι μέγας ἔσσεται ὅρκος.
Ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
Ξύμπαντας, τοῖς δ' οὔτι δυνήσεαι ἀχνύμενός περ,
Χραισμεῖν, εὖτ' ἂν πολλοὶ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
Θνήσκοντες πίπτωσι, σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις
Χωόμενος, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας.
Ὣς φάτο Πηλεΐδης, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ
Χρυσείοις ἥλοισι πεπαρμένον, ἕζετο δ' αὐτός.
Ἀτρεΐδης δ' ἑτέρωθεν ἐμήνιε. τοῖσι δὲ Νέστωρ
Ἡδυεπὴς ἀνόρουσε λιγὺς Πυλίων ἀγορητής.

Τοῦ

τῷ λέγειν. ἀνόρουσεν.] ἀνώρμησεν, ἀνέστη. πῶς οὖν τὸ ἀνόρουσεν ἐπὶ τῷ Νέστορι ὁ ποιητὴς τῷ γέροντι ἤδη ἐχρήσατο; ὅτι νέων γὰρ ἴδιος ἦν τοῦτο λέγεσθαι. καὶ ῥητέον ὅτι τὸ προνοητικὸν τῶν ὁμοφύλων, νεανικὴν αὐτῷ περιτίθησι κίνησιν. οὐδὲ γὰρ γέροντα κυβερνήτην μέμψοιτο ἄν τις κινδυνεύοντος σκάφους ὑπὲρ τὸ δέον κινούμενον. καὶ ἄλλως. ῥητέον ὅτι ἔοικεν ἀεὶ ἡ τῆς τιμῆς προσθήκη μὴ μόνον τοὺς νέους, ἀλλὰ καὶ τοὺς γέροντας μεταπείθειν πρὸς τὸ καὶ παρὰ δύναμιν ἐγχειρεῖν τί ποιεῖν. μᾶλλον δὲ τὸν Νέστορα ἐν τῷ δημηγορεῖν διαφέροντα τῶν λοιπῶν. καὶ εἰδότα μὴ ἀπαρεσκομένους τοὺς Ἕλληνας πρὸς τὰ λεγόμενα. λιγύς.] ἡδύς. ἐν τῷ λέγειν, ὀξύς. Πυλίων.] τῶν τὴν Πύλον κατοικούντων. ἔστι δὲ ὄνομα ἔθνους. ἀγορητής.] δημηγόρος. τοῦ καὶ ἀπὸ γλώσσης.] οὗτινος καὶ ἀπὸ τῆς γλώσσης. ἡ γλῶσσα σημαίνει γ΄. αὐτό γε τὸ σῶμα. καὶ τὴν διάλεκτον. καὶ τὸ ἀπεξενωμένον τῆς λέξεως. γλυκίων.] ἡδίων, γλυκεῖα. ῥέεν.] ἔρρει, ἐφέρετο. διὰ δὲ τοῦ εἰπεῖν ῥέεν ἐμφαίνει τὸ ῥητορικὸν τοῦ Νέστορος. αὐδή.] φωνή. τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο.] ἐφθαρμέναι ἦσαν. Ἡρακλέους γὰρ Πύλον στρατεύσαντος ἔτι νέου ὄντος τοῦ Νέστορος, καὶ ἀποκτείναντος τοὺς πρεσβυτέρους μίαν ὄντας γενεάν. καὶ τοὺς τῆς μέσης ἡλικίας, ἄλλην ὄντας γενεάν ὧν καὶ ὁ Νέστωρ μόνος περισωθεὶς τῆς τρίτης γενεᾶς ἐβασίλευε, τῆς περὶ τὴν παῖδας. ἰστέον ὅτι οἱ παλαιοὶ τὰς γενεὰς ἐψήφιζον ἕως ἐτῶν τριάκοντα. μερόπων.] μεμερισμένην τὴν φωνὴν ἐχόντων. ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. ὅ ἐστι μεριζομένην εἰς συλλαβάς. καὶ ἔναρθρον ἐχόντων τὴν ὄπα. τουτέστι τὴν φωνήν. οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο.] τουτέστιν οἱ πρὸ τούτου γενόμενοι. καὶ οἱ ἅμα αὐτῷ τραφέντες. ἠδ' ἐγένοντο.] καὶ ἐγένοντο. ἠγαθέῃ.] πάνυ θείᾳ. ὅ σφιν.] ὃς ἐν αὐτοῖς. ἐϋφρονέων.] καλῶς φρονῶν. ἀγορήσατο.] ἐδημηγόρησε. καὶ εἶπεν. ὢ πόποι.] φεῦ. παπαί. ἔστι δὲ σχετλιαστικὸν ἐπίρρημα. ὅ ἐστι λύπης δηλωτικόν. ἦ μέγα πένθος.] ὄντως μεγάλη λύπη. Ἀχαιΐδα γαῖαν.] τὴν Ἑλληνικὴν γῆν. τοὺς Ἕλληνας. ἔστι δὲ μετωνυμία ὁ τρόπος. ἦ κεν γηθήσαι.] ὄντως ἂν χαρείη. Πριάμοιό τε παῖδες.] καὶ οἱ τοῦ Πριάμου παῖδες. ἅμα τοῖς λοιποῖς Τρωσί. μέγα κεν.] μεγάλως ἄν. κεχαροίατο.] χαρεῖεν. εἰ σφῶϊν.] εἰ ὑμῶν. τάδε πάντα.] ταῦτα πάντα. πυθοίατο.] μάθοιεν. μαρναμένοιϊν.] μαχομένοιν. οἳ περὶ μὲν βουλὴ Δαναῶν.] ἀντὶ τοῦ οἵτινες διαφέρετε τῶν Ἑλλήνων καὶ ἐν τῷ βουλεύεσθαι. περὶ δ' ἐστὲ μάχεσθαι.] περισσῶς δὲ καὶ ὑπερβαλόντως ἐστὲ καὶ ὑπερέχετε ἐν τῷ πολεμεῖν.

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.
Τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
Ἐφθίαθ', οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο
Ἐν Πύλῳ ἠγαθέῃ, μετὰ δὲ τριτάτοισιν ἄνασσεν,
Ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν.
Ὦ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει.
Ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες,
Ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ,
Εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιϊν,
Οἳ περὶ μὲν βουλὴ Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι.
Ἀλλὰ πίθεσθ', ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο.
Ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέπερ ὑμῖν
Ἀνδράσιν ὡμίλησα, καὶ οὔποτέ μ' οἵγ' ἀθέριζον.
Οὐ γάρ πω τοίους ἴδον ἀνέρας οὐδὲ ἴδωμαι,
Οἷον Πειρίθοόν τε Δρύαντά τε ποιμένα λαῶν,
Καινέα τ' Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον,
Θησέα τ' Αἰγείδην ἐπιείκελον ἀθανάτοισι.
Κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφεν ἀνδρῶν.

Κάρτιστοι

ἀλλὰ πίθεσθε.] ἀλλὰ πείσθητε. ἄμφω δέ.] ἀμφότεροι δέ. νεωτέρω.] νεώτεροι, δυικῶς. ἐστόν.] ἐστέ. ὑπάρχετε. ἐμεῖο.] ἐμοῦ. ἀρείοσι.] βελτίοσι, κρείττοσιν. ἠέπερ ὑμῖν.] ἢ ὑμῖν. ὡμίλησα.] συνανεστράφην. καὶ οὔποτέ μοι.] καὶ οὐδέποτέ μοι. ἀθέριζον.] ἠπείθουν ἀπεδοκίμαζον. οὐ γάρ πω.] οὐδέποτε γάρ. τοίους.] τοιούτους. ἴδον.] ἐθεασάμην. ἀνέρας.] ἄνδρας. οὐδὲ ἴδωμαι.] οὐδὲ ἰδεῖν δυνήσομαι. οἷον.] ὁποῖον. Πειρίθοον.] Πειρίθουν, ὄνομα κύριον. Πειρίθους ὁ Ἰξίονος, γένει μὲν ἦν Ἀθηναῖος. ᾤκητο δὲ τοῖς Κενταύροις. πρὸς γάμον δὲ ἀγόμενος Ἱπποδάμειαν τὴν Βουτάδα, τοὺς Κενταύρους συνεκάλεσεν εἰς εὐωχίαν. οἵτινες οἰνωθέντες ἐπεχείρουν ὑβρίζειν ὅσαι τῶν Ἑλληνίδων παρῆσαν γυναικῶν. ὅθεν οἱ Λαπίθαι συστάδην μαχεσάμενοι διώκουσιν αὐτοὺς εἰς Μάλεον ὄρος τῆς Πελοποννήσου. ὁ δὲ Πειρίθους ὠνομάσθη οὕτως ἀπὸ τοῦ περιθεῖν ἵππῳ ὁμοιωθέντα τὸν Δία ἐν τῷ μίγνυσθαι τῇ μητρὶ αὐτοῦ. Δρύαντά τε.] καὶ τὸν Δρύαντα. ποιμένα λαῶν.] βασιλέα ὄχλων. Καινέα τε.] καὶ τὸν Καινέα. ὁ δὲ Καινεὺς Ἐλάτου μὲν παῖς, Λαπιθῶν δὲ βασιλεὺς πρότερον ἦν παρθένος εὐπρεπής. μιγέντος δὲ αὐτῇ Ποσειδῶνος, αἰτησαμένη μεταβαλεῖν εἰς ἄνδρα ἡ νεᾶνις, ἄτρωτος γίγνεται. γενναιότατος τῶν καθ' αὐτὸν ὑπάρξας. καὶ δήποτε πήξας ἀκόντιον ἐν τῷ μεσαιτάτῳ τῆς ἀγορᾶς, θεοῖς τοῦτο προσέταξεν ἀριθμεῖν. διὰ ταύτην αἰτίαν ἀγανακτήσας ὁ Ζεὺς τιμωρίαν τῆς ἀσεβείας παρ' αὐτοῦ εἰσεπράξατο. μαχόμενον γὰρ αὐτὸν τοῖς Κενταύροις καὶ ἄτρωτον ὄντα ὑποχείριον ἐποίησε. βάλλοντες γὰρ αὐτὸν οἱ προειρημένοι δρυσί τε καὶ ἐλάταις, ἤρεισαν εἰς γῆν. μέμνηται δὲ αὐτοῦ καὶ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς λέγων οὕτως. Καινέα γὰρ τὸν πρόσθεν ἐπικλείουσιν ἀοιδοὶ Κενταύροισιν ὀλέσθαι, ὅτε σφέας οἶος ἀπ' ἄλλων ἤλασ' ἀριστήων, οἱ δ' ἔμπαλιν ὁρμηθέντες οὔτε μιν ἀγκλῖναι προτέρω σθένον, οὔτε δαΐξαι. Ἀλλ' ἄρρηκτος, ἄκαμπτος ἐδύσατο νειόθι γαίης. Θεινόμενος στιβαρῇσι καταΐγδην ἐλάτῃσιν. Ἐξάδιόν τε.] καὶ τὸν Ἐξάδιον. ἀντίθεον.] ἰσόθεον. κάρτιστοι.] ἰσχυρότατοι, γενναῖοι. κεῖνοι.] ἐκεῖνοι. ἐπιχθονίων.] ἐπιγείων.

Κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο
Φηρσὶν ὀρεσκώοισι, καὶ ἐκπάγλως ἀπόλεσαν.
Καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθὼν,
Τηλόθεν ἐξ ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί.
Καὶ μαχόμην κατ' ἐμαυτὸν ἐγὼ, κείνοισι δ' ἂν οὔτις
Τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο.
Καὶ μέν μευ βουλέων ξύνιον, πείθοντό τε μύθῳ.
Ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον.
Μήτε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην,
Ἀλλ' ἔα ὥς οἱ πρῶτα δόσαν γέρας υἷες Ἀχαιῶν.
Μήτε σὺ Πηλείδη ἔθελ' ἐριζέμεναι βασιλῆϊ
Ἀντιβίην, ἐπεὶ οὔποθ' ὁμοίης ἔμμορε τιμῆς +
Σκηπτοῦχος βασιλεὺς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.
Εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
Ἀλλ' ὅγε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρείδη σὺ δὲ παῦε τεὸν μένος, αὐτὰρ ἔγωγε
Λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
Ἕρκος Ἀχαιοῖσι πέλεται πολέμοιο κακοῖο.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων.
Ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων.
Πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ' ἀνάσσειν,
Πᾶσι δὲ σημαίνειν, ἅ τιν' οὐ πείσεσθαι ὀΐω.
Εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες,
Τοὔνεκά οἱ προθέουσιν ὀνείδεα μυθήσασθαι. +
Τὸν δ' ἄρ' ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς,

Ἦ γὰρ

Τράφεν.] ἐτράφησαν. ἔσαν.] ἦσαν, ὑπῆρχον. Φηρσί.] θηρσί, θηρίοις. λέγει δὲ τοῖς Κενταύροις. Ἰξίων ὁ Φλεγύου παῖς, Δίαν τὴν Δηιονέως γήμας, ἐλθόντα τὸν πενθερὸν ἐπὶ τὰ ἕδνα, δόλῳ καταπρήσας, μανεὶς καὶ ὑπὸ θεῶν καθαρθεὶς τὸν φόνον, Ἥρας ὕστερον ἠράσθη. Ζεὺς δὲ βουλόμενος αὐτὸν δοκιμάσαι ἐν τῷ ὄντι τολμᾷ τοιοῦτόν τι, νεφέλην ἀπεικάσας Ἥρᾳ, παρέκλινεν αὐτῷ. ὁ δὲ μιγεὶς τῇ νεφέλῃ ὡσανεὶ τῇ Ἥρᾳ, ἔσχε παῖδα Κένταυρον· ἀφ' οὗ τὸ τῶν Κενταύρων γένος. μετὰ δὲ θάνατον ἔλαβε δίκας παρ' αὐτοῦ ὁ Ζεὺς, ποιήσας αὐτὸν ἐν τοῖς καταχθονίοις στρέφεσθαι μετὰ πολλῆς βίας ἐπὶ τροχοῦ σιδηροῦ. ὀρεσκώοισι.] τοῖς ἐν ὄρεσι διαιτωμένοις. ἐκπάγλως.] ἐκπληκτικῶς, ὅ ἐστι κατὰ κράτος αὐτοὺς διαπώλεσαν. καὶ μὲν τοῖσιν ἐγώ.] καὶ τούτοις μὲν ἐγὼ τοῖς περὶ τὸν Πειρίθουν. μεθομίλεον.] συναναστρεφόμην, συνεμαχόμην. τηλόθεν.] πόρρωθεν, μακρόθεν ὢν ἀπὸ τῆς Πύλου. ἐξ ἀπίης γαίης.] ἐκ τῆς ἀλλοδαπῆς καὶ μακρὰν ἀπεχούσης γῆς. καὶ μαχόμην.] καὶ ἐπολέμουν. κατ' ἐμαυτόν.] κατὰ τὴν ἐμαυτοῦ δύναμιν. κείνοισι δ' ἂν οὔτις.] πρὸς ἐκείνους δὲ οὐδεὶς ἰσχύει τῶν νῦν ὄντων ἀνθρώπων. βροτοί.] ἄνθρωποι φθαρτοί, ἡ μεταφορὰ ἀπὸ τῶν ἐδεσμάτων. ἐπιχθόνιοι.] ἐπίγειοι· χθὼν γὰρ ἡ γῆ. τῶν.] τούτων. οἷοι.] ὁποῖοι. μαχέοιτο.] μάχοιτο. καὶ μέν μευ.] καὶ μὲν ἐμοῦ. βουλέων.] συμβουλιῶν. ξύνιον.] ἤκουον, ἐπείθοντο. καὶ ὔμμες.] καὶ ὑμεῖς. Αἰολὶς ἡ διάλεκτος. ἀγαθός περ ἐών.] καίτοι βασιλεὺς ὑπάρχων, ἢ ἀγαθὸς τὴν γνώμην, ἀμείνων, κρείττων. ἀποαίρεο.] ἀφαιροῦ. κούρην.] κόρην. ἡ διάλεκτος Ἰώνων. ἔα.] συγχώρει. ὥς οἱ πρῶτα.] ὡς αὐτῷ ἐξ ἀρχῆς. δόσαν.] παρέσχον. θέλε.] βούλου. ἐριζέμεναι.] ἐρίζειν, φιλονεικεῖν, διισοῦσθαι. ἀντιβίην.] ἐξ ἐναντίας. ἔμμορε.] ἔλαχεν, ἔτυχεν. ὁμοίης.] ἴσης καὶ τῆς αὐτῆς. σκηπτοῦχος.] σκηπτροφόρος. Πῶς οὖν ὁ Νέστωρ εἴρηκεν; ἆρα δύναταί τις βασιλεῦσαι χωρὶς τῆς τοῦ θεοῦ βουλῆς; καὶ ῥητέον ὅτι καλῶς οὕτω εἴρηκεν. οὐ γὰρ ἅπαντες παρὰ τοῦ Διὸς ἔχουσι τὸ σκῆπτρον, οὐδὲ τὴν ἀρχὴν ταύτην. ἀλλὰ μόνοι οἱ ἀγαθοί, εὐλόγως οὖν εἶπεν ὅτι τὸ μὲν ἄρχειν ἀπὸ θεοῦ ἐστιν, οὐ μέντοι καὶ πᾶς ἄρχων καταθύμιος θεῷ. οὐδὲ ὁ βιαζόμενος τὴν ἀρχὴν θελητὸς τῷ θεῷ ὡς παραχρώμενος τῇ ἰδίᾳ ἐπιθυμίᾳ ἀπρεπῶς τοῦ θείου παραχωροῦντος αὐτῷ καὶ ἀφροντιστοῦντος τοῦ τοιούτου. ᾧ τε Ζεύς.] καὶ ᾧτινι ὁ Ζεύς. κῦδος.] δόξαν. ἔδωκε.] παρέσχε. καρτερός.] ἰσχυρός. ἐσσί.] ὑπάρχεις. θεὰ δέ σε.] καὶ θεά σε· ὅτι τῆς Θέτιδος εἶ υἱὸς τῆς Νηρέως θυγατρός· αὐτὴ δὲ ἀθάνατος. ἀλλ' ὅγε.] ἀλλ' οὗτος. φέρτερος.] κρείσσων. πλεόνεσσι.] πλέοσιν, ὅτι πλεόνων. τεὸν μένος.] τὴν σὴν ὀργήν. αὐτὰρ ἔγωγε.] ἐγὼ δέ. λίσσομαι.] λιτανεύω, παρακαλῶ. μεθέμεν.] μεθεῖναι, συγχωρῆσαι. χόλον.] ὀργήν. ὃς μέγα.] ὅστις μέγα. ἕρκος.] περίφραγμα, τεῖχος. πέλεται.] γίγνεται, ἐστί. πολέμοιο κακοῖο.] τοῦ κακωτικοῦ πολέμου. κρείων.] μεγάλως κρατῶν. κατὰ μοῖραν.] κατὰ τὸ προσῆκον, κατὰ τὸ πρέπον. ἔειπες.] εἶπας, ἔλεξας. ἀλλ' ὅδε.] ἀλλ' οὗτος. ἐθέλει.] βούλεται. περὶ πάντων.] ὑπὲρ πάντας. ἔμμεναι.] εἶναι, τουτέστι πάντων θέλει ὑπερέχειν. κρατέειν.] κρατεῖν, βασιλεύειν. πάντεσσι.] πᾶσι. σημαίνειν.] προστάσσειν. ἅ τιν' οὐ πείσεσθαι.] πρὸς ἃ οὐ πεισθήσεσθαι. ὀΐω.] οἶμαι, ὑπολαμβάνω. εἰ δέ μιν.] εἰ δὲ αὐτόν. αἰχμητήν.] πολεμικόν. ἔθεσαν.] ἐποίησαν. αἰὲν ἐόντες.] διαπαντὸς ὄντες, ἀθάνατοι. τοὔνεκά οἱ.] τούτου χάριν αὐτῷ. προθέουσι.] προτρέχουσι, συνίασιν. ὀνείδεα.] ὀνείδη, ὕβρεις. μυθήσασθαι.] εἰπεῖν. ὁ δὲ λόγος, εἰ πολεμιστής ἐστιν Ἀχιλλεὺς γνώμῃ τῶν θεῶν, διὰ τοῦτο προπετής ἐστιν ὥστε τὸ ὀνειδίζειν καὶ κακῶς λέγειν ἡμᾶς τοὺς βασιλεῖς. τὸν δ' ἄρ.] τοῦτον δὲ δή. ὑποβλήδην.] ὑποβαλὼν τὸν ἴδιον λόγον Ἀχιλλεὺς καὶ μεσολαβήσας τὸν Ἀγαμέμνονος πρὶν ἢ σιωπῆσαι αὐτὸν εἰπών. ἠμείβετο.] ἐξ ἀμοιβῆς ἀπεκρίνατο. ἦ γάρ κεν.] ὄντως γὰρ ἄν. δειλός.] ἀσθενής. οὐτιδανός.] οὐδενὸς λόγου ἄξιος. καλεοίμην.] κληθείην

εἰ δή σοι

εἰ δή σοι.] ἐὰν δή σοι. πᾶν ἔργον.] ὡς πᾶν πρᾶγμα. ὑπείξομαι.] ὑποχωρήσω. ὅττι κεν.] ὅπερ ἄν. ἐπιτέλλεο.] ἐπιτέλλου, πρόσταττε. μὴ γὰρ ἔμοιγε.] ἐμοὶ γὰρ μή. σήμαινε.] πρόσταττε. ἐγὼ γὰρ οὐ νομίζω πείθεσθαί σοι. ἄλλο δέ τοι.] ἄλλο δέ σοι. ἐρέω.] ἐρῶ, λέξω. βάλλεο.] ἐμβάλλου, ἔνθου. σῇσι.] σαῖς. μαχήσομαι.] μαχοῦμαι. οὔτε τῳ.] οὔτε τινὶ ἄλλῳ. τὸ τῳ σημαίνει πέντε· ὄνομα, ἄρθρον, ἀντωνυμίαν, σύνδεσμον, αἰτιολογικὸν, ῥῆμα. ὄνομα μὲν οὕτως. οὔτε σοὶ οὔτε τῳ ἄλλῳ, ἐστὶ γὰρ τινί. ῥῆμα δέ, Κύκλωψ τῆ πίε οἶνον. ἐστὶ γὰρ τὸ τῆ ἀντὶ τοῦ λάβε.

Ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην,
Εἰ δὴ σοὶ πᾶν ἔργον ὑπείξομαι ὅττι κεν εἴπῃς.
Ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο, μὴ γὰρ ἔμοιγε
Σήμαιν', οὐ γὰρ ἔγωγ' ἔτι σοι πείσεσθαι ὀΐω.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι.
Χερσὶ μὲν ὅτι ἔγωγε μαχήσομαι εἵνεκα κούρης,
Οὔτε σοί, οὔτε τῳ ἄλλῳ, ἐπεί μ' ἀφέλεσθέ γε δόντες.
Τῶν δ' ἄλλων, ἅ μοι ἐστὶ θοῇ παρὰ νηῒ μελαίνῃ,
Τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο.
Εἰ δ' ἄγε μὴν πείρησαι ἵνα γνώωσι καὶ οἵδε.
Αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί.
Ὣς τώ γ' ἀντιβίοισι μαχεσσαμένω ἐπέεσιν
Ἀνστήτην. λῦσαν δ' ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν.
Πηλείδης μὲν ἐπὶ κλισίας καὶ νῆας ἐΐσας
Ἤϊε σύν τε Μενοιτιάδῃ, καὶ οἷς ἑτάροισιν.
Ἀτρείδης δ' ἄρα νῆα θοὴν ἅλαδε προέρυσσεν.
Ἐς δ' ἐρέτας ἔκρινεν ἐείκοσιν, ἐς δ' ἑκατόμβην
Βῆσε θεῷ, ἀνὰ δὲ Χρυσηΐδα καλλιπάρῃον
Εἷσεν ἄγων, ἐν δ' ἀρχὸς ἔβη πολύμητις Ὀδυσσεύς.
Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα.
Λαοὺς δ' Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγεν.
Οἱ δ' ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ' ἔβαλλον.
Ἕρδον δ' Ἀπόλλωνι τεληέσσας ἑκατόμβας
Ταύρων ἠδ' αἰγῶν παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Κνίση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.
Ὣς οἱ μὲν τὰ πένοντο κατὰ στρατόν, οὐδ' Ἀγαμέμνων
Λῆγ' ἔριδος τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆϊ.

Ἀλλ'

ἄρθρον δὲ οὕτως· ἤτοι μὲν τάγ' ὄπισθε Μαχάονι πάντα ἔοικε, τῷ Ἀσκληπιάδῃ. ἀντωνυμίαν δέ, ὡς ἐν τῷ, τῷ μιν ἀσάμενος. σύνδεσμον αἰτιολογικὸν οὕτως, τῷ σε καὶ οὐ δύναμαι. ἐστὶ γὰρ διό. ὅταν μέντοι ἄρθρον σημαίνει ἐγκλιτικόν, μόνης δοτικῆς ἐστι πτώσεως, καὶ περισπᾶται. δυικὸν δὲ εὐθείας καὶ αἰτιατικῆς, καὶ βαρύνεται. τὸ αἴαντε. ἐπεί μ' ἀφέλεσθε.] ἐπειδὴ δεδωκότες μοι αὐτὴν ἀφῄρεσθε, καὶ ὑβρίσατε ἑαυτοὺς γάρ, οὐκ ἐμέ. τῶν δ' ἄλλων.] τῶν δὲ λοιπῶν. ἅ μοι ἐστί.] ἅτινά μοι ὑπάρχει. θοῇ νηΐ.] παρὰ τῇ ταχυτάτῃ νηΐ. μελαίνῃ.] βαθείᾳ. ἢ τῇ πίσσῃ κεχρισμένῃ. τῶν.] τούτων. οὐκ ἄν τι.] οὐδαμῶς ἄν τι. φέροις.] κομίσοις, λάβοις. ἀνελών.] λαβών, ἢ ἀφελόμενος. ἀέκοντος.] ἄκοντος, καὶ μὴ βουλομένου. ἐμεῖο.] ἐμοῦ. εἰ δ' ἄγε μήν.] ἄγε μὴν βούλει. πείρησαι.] πειράθητι. ἵνα γνώωσι καὶ οἵδε.] ὅπως ἂν μάθωσι καὶ οὗτοι. αἶψά τοι.] ταχέως σοι. κελαινόν.] μέλαν. ἐρωήσει περὶ δουρί.] περιρρυήσεται τῷ δόρατι. ὣς τώγε.] οὕτως, οὗτοι. ἀντιβίοις.] ἐναντίοις. ὅ ἐστι στασιαστικοῖς λόγοις. μαχεσσαμένω.] μαχεσάμενοι. δυϊκῶς. ἐπέεσι.] λόγοις. ἀνστήτην.] ἀνέστησαν. λῦσαν δέ.] ἔλυσαν δέ. ἀγορήν.] ἐκκλησίαν, συνέδριον. ἐπὶ κλισίας.] ἐπὶ τὰς σκηνάς. ἐΐσας.] ἰσοτοίχους. ἤϊε.] παρεγίνετο, ἐπορεύετο. σύν τε Μενοιτιάδῃ.] σὺν τῷ Μενοιτίου υἱῷ Πατρόκλῳ, καὶ τοῖς Μυρμιδόσι. κεχώρικε δὲ τῶν λοιπῶν ἑταίρων τὸν Πάτροκλον, κατ' ἐξοχήν. ἄρα.] δή. νῆα.] ναῦν, πλοῖον. ἅλαδε.] ἐς τὴν θάλασσαν. προέρυσσε.] καθέλκυσεν. ἐς δ' ἐρέτας.] ἐς αὐτὴν δὲ καὶ κωπηλάτας. ἔκρινεν.] κατηρίθμησεν, ἐπελέξατο. ἐείκοσιν.] εἴκοσι. βῆσε.] ἐνεβίβασε, ἐνέθηκεν. ἐν δέ.] ἐς αὐτὴν δέ. ἀνὰ δὲ Χρυσηίδα καλλιπάρῃον.] ἀναγαγὼν δὲ καὶ τὴν καλοπρόσωπον Χρυσηίδα ἐς τὴν ναῦν. εἷσεν ἄγων.] ἐκάθισεν ἄγων τῷ πατρί. ἐν δ' ἔβη.] ἀνέβη δέ. ἀρχός.] ἡγεμών, ναύαρχος. πολύμητις.] πολύβουλος, συνετός. οἱ μέν.] οὗτοι μέν. ἀναβάντες.] ἀνελθόντες, ἐπιβάντες. ἐπέπλεον.] ἔπλεον. ὑγρὰ κέλευθα.] τὴν διὰ θαλάσσης ὁδόν. ἀπολυμαίνεσθαι.] ἀποκαθαίρεσθαι. ἄνωγεν.] ἐκέλευσε, προσέταξεν. οἱ δέ.] αὐτοὶ δέ. ἀπελυμαίνοντο.] ἀπεκαθαίροντο. εἰς ἅλα λύματ' ἔβαλλον.] καὶ ἐς τὴν θάλασσαν τὰ καθάρσια ἔβαλλον. φύσει δὲ τὸ ὕδωρ τῆς θαλάσσης καθαρτικόν ἐστιν. ἕρδον.] ἐπετέλουν, ἔθυον. τεληέσσας.] τελείας. παρὰ θῖν'.] παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης. ἀτρυγέτοιο.] ἀκαταπονήτου, πολλῆς, ἢ ὥς ἔνιοί φασι τῆς ἀκάρπους. ἑτάροισι.] τοῖς φίλοις. κνίση δέ.] ἡ δὲ κνίσσα, ὅ ἐστιν ἡ ἀναθυμίασις. ἡ δὲ λέξις τέσσαρα σημαίνει, ὡς τῷ Πορφυρίῳ δοκεῖ, αὐτό τε τὸ λίπος, καὶ τὸν ἐπίπλουν, καὶ τὸ ἱερεῖα, καὶ τὴν ἀναθυμίασιν.

ἷκεν.] παρεγίνετο. ἑλισσομένη.] παρειλουμένη τῷ καπνῷ. ὣς οἱ μέν.] οὕτως μὲν οὗτοι. τά.] ταῦτα. πένοντο.] ἐνήργουν, ἔπραττον. κατὰ στρατόν.] κατὰ τὸ στρατόπεδον. λῆγε.] ἐπαύετο. ἔριδος.] φιλονεικίας. τὴν πρῶτον.] ἥν τινα πρῶτον λάπει ἢ κατά. ἐπηπείλησ' Ἀχιλῆϊ.] τῷ Ἀχιλλεῖ ἠπείλησε.]

Ἀλλ' ὅ γε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προσέειπε,
Τώ οἱ ἔσαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε.
Ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος.
Χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρῃον.
Εἰ δέ κε μὴ δώῃσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
Ἐλθὼν σὺν πλεόνεσσι, τό οἱ καὶ ῥίγιον ἔσται.
Ὣς εἰπὼν προΐει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
Τὼ δ' ἀέκοντε βάτην παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο,
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην.
Τὸν δ' εὗρον παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
Ἥμενον, οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς.
Τὼ μὲν ταρβήσαντε, καὶ αἰδομένω βασιλῆα
Στήτην, οὐδέ τί μιν προσεφώνεον, οὐδ' ἐρέοντο.
Αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε.
Χαίρετε κήρυκες Διὸς ἄγγελοι, ἠδὲ καὶ ἀνδρῶν. +
Ἆσσον ἴτ', οὔ τί μοι ὔμμες ἐπαίτιοι, ἀλλ' Ἀγαμέμνων,
Ὅ σφῶϊ προΐει Βρισηΐδος εἵνεκα κούρης.
Ἀλλ' ἄγε διογενὲς Πατρόκλεες ἔξαγε κούρην,
Καί σφωϊν δὸς ἄγειν, τὼ δ' αὐτὼ μάρτυροι ἔστων
Πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων,
Καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος, εἴ ποτε δ' αὖτε
Χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
Τοῖς ἄλλοις, ἦ γὰρ ὅ γ' ὀλοιῇσι φρεσὶ θύει,
Οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
Ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.
Ὣς φάτο. Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
Ἐκ δ' ἄγαγε κλισίης Βρισηΐδα καλλιπάρῃον,
Δῶκε δ' ἄγειν, τὼ δ' αὖτις ἴτην παρὰ νῆας Ἀχαιῶν.
Ἡ δ' ἀέκουσ' ἅμα τοῖσι γυνὴ κίεν, αὐτὰρ Ἀχιλλεὺς
Δακρύσας ἑτάρων, ἄφαρ ἕζετο νόσφι λιασθείς,
Θῖν' ἐφ' ἁλὸς πολιῆς, ὁρόων ἐπὶ οἴνοπα πόντον.

Ταλθύβιον καὶ Εὐρυβάτην.] ὀνόματα κύρια τῶν κηρύκων. τώ οἱ ἔσαν.] οἵ τινες αὐτῷ ἦσαν. ὀτρηρώ.] σπουδαῖοι, παρὰ τὸ ὀτρύνω. θεράποντε.] ὑπηρέται. ἔρχεσθον.] ἀπέρχεσθε, δυϊκῶς. κλισίην.] ἐς τὴν σκηνήν. ἑλόντε.] λαβόντες. ἀγέμεν.] ἄγειν. εἰ δέ κεν.] ἐὰν δέ. μὴ δώῃσι.] μὴ παράσχῃ. δύο λαμβάνει δύο ἐπεκτάσεις. ἕλωμαι.] ἀφέλωμαι, λάβω. ἐλθὼν σὺν πλεόνεσσι.] τὸ δὲ σὺν πλεόνεσσιν οὐ τῷ ἐλθὼν συντακτέον, ἀλλὰ τῷ ἕλωμαι, ἵν' ᾖ μετὰ πολλῶν καὶ ἄλλων κτημάτων αὐτὴν ἀφαιρήσομαι. τό οἱ.] ὅπερ αὐτῷ. ῥίγιον.] φρικωδέστερον καὶ χαλεπώτερον. ἔσται.] γενήσεται. προΐει.] προέπεμπε. κρατερόν.] ἰσχυρόν, γενναῖον. ἔτελλεν.] ἐπέτελλεν, ἔλεγεν. τὼ δέ.] οὗτοι δὲ δυϊκῶς. ἀέκοντε.] ἄκοντες, καὶ μὴ βουλόμενοι. βάτην.] ἔβησαν, ἐπορεύθησαν. ἱκέσθην.] ἀφίκοντο, παρεγίνοντο. εὗρον.] κατέλαβον. κλισίῃ.] παρὰ τῇ σκηνῇ. ἥμενον.] καθεζόμενον. οὐδ' ἄρα τώ γε.] οὐδὲ δὴ τούτους. ἰδών.] θεασάμενος. γήθησεν.] ἐχάρη. τὼ μέν.] οὗτοι μέν. ταρβήσαντε.] φοβηθέντες, δυϊκῶς, διὰ τὴν ξιφουλκίαν. αἰδομένω.] αἰδεσθέντες. στήτην.] ἔστησαν. οὐδέ τί μιν.] οὐδὲ αὐτόν τι. προσεφώνεον.] προσεφθέγγοντο. οὐδ' ἐρέοντο.] οὐδὲ ἠρώτων. αὐτὰρ ὁ.] οὗτος δέ. ἔγνω.] ἐστοχάσατο, ἐνόησεν. ᾗσιν ἐνὶ φρεσίν.] ἐν ταῖς ἑαυτοῦ διανοίαις. φώνησέν τε.] ἐβόησε καὶ εἶπεν. Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν.] ἀνθρώπων. κήρυκες.] ἄξιοι καὶ θεῶν, ἄσυλον γὰρ καὶ θεῖον τὸ γένος τῶν κηρύκων. Ἑρμῆς γὰρ μιγεὶς Πανδρόσῳ τῇ Κέκροπος θυγατρὶ ἔσχεν υἱὸν ὀνόματι Κήρυκα, ἀφ' οὗ τὸ τῶν κηρύκων γένος, ὡς ἱστορεῖ Πτολεμαῖος. ἢ ὅτι τὰς ἑορτὰς τῶν θεῶν ἀγγέλλουσιν. ἢ ὅτι ἀπὸ Ἑρμοῦ εἰσὶν ὄντος ἀγγέλου Διός. ἆσσον ἴτε.] ἐγγὺς παραγένεσθε. οὔ τί μοι ὔμμες.] κατ' οὐδὲν μοι ὑμεῖς. ψιλοῦται τὸ ὔμμες ὡς Αἰολικόν. αἰὲν ὔμμιν ὑπείρεχε χεῖρα Κρονίων. ἐπαίτιοι.] αἴτιοι, πεπαιδευμένως δέ, οὐ γὰρ δεῖ τὰς αἰτίας ἐφ' ἑτέρους μετάγειν, ὡς κύνα κατὰ τοῦ βεβλημένου λίθου. ὅ σφῶϊ.] ὃς ὑμᾶς. προΐει.] ἔπεμπε. διογενές.] εὐγενέστατε. Πατρόκλεες.] ἀντὶ τοῦ Πάτροκλε. ἐσχημάτισται γὰρ τὸ ὄνομα οὐκ ἀπὸ τοῦ Πάτροκλος εὐθείας, ἀλλὰ ἀπὸ τοῦ Πατροκλῆς, ὡς Ἡρακλῆς ὦ Ἡράκλεις. ἔξαγε.] ἔξω τῆς σκηνῆς κόμιζε. καί σφωϊν.] καὶ αὐτοῖς. ἄγειν.] ἀπάγειν. κούρην.] τὴν Βρισηΐδα. τὼ δ' αὐτώ.] οὗτοι δ' αὐτοί. μάρτυροι.] μάρτυρες, Ἰὰς ἡ διάλεκτος. ἔστων.] ἔστωσαν, ὑπαρχέτωσαν. πρός τε θεῶν.] καὶ πρὸς τοὺς θεούς. μακάρων.] μακαρισμοῦ ἀξίων, εὐδαιμόνων. ἀπηνέος.] ἀπηνοῦς, χαλεποῦ, σκληροῦ. εἴ ποτε δ' αὖτε.] ἐάν ποτε πάλιν. χρειώ.] χρεία. ἐμεῖο.] ἐμοῦ. ἀεικέα.] αἰκιστικόν, χαλεπόν. λοιγόν.] ὄλεθρον. ἀμῦναι.] ἀποσοβῆσαι, ἀποστρέψαι. ἦ γὰρ ὅ.] οὗτος γὰρ ὁ. ὅ γε.] οὗτος. ὀλοιῇσιν.] ὀλεθρίαις. θύει.] ἐνθουσιωδῶς ὁρμᾷ, ὅ ἐστι μαίνεται. νοῆσαι.] προλογίσασθαι, ἐνθυμηθῆναι. πρόσσω καὶ ὀπίσσω.] τὸ παρὸν καὶ τὸ μέλλον, τουτέστιν οὐκ οἶδε προσκοπῆσαι καὶ τὴν ἀρχὴν καὶ τὴν ἀπόβασιν τοῦ πράγματος. ὅππως οἱ.] ὅπως αὐτῷ. σόοι.] σῶοι, ὑγιεῖς. μαχέοιντο.] μαχοῦνται, πολεμήσουσιν. ἐπεπείθετο.] ἐπείθετο. ἐκ δ' ἄγαγε.] ἐξήγαγε δέ. τὼ δ' αὖτις.] οὗτοι δὲ πάλιν. ἴτην.] παρεγίνοντο. ἡ δ' ἀέκουσ' ἅμα τοῖσι γυνὴ κίεν.] ἡ Βρισηῒς ἄκουσα καὶ μὴ βουλομένη ὁμοῦ τοῖς κήρυξιν ἐπορεύετο. ἄφαρ.] εὐθέως, ταχέως. ἑτάρων.] ἑταίρων, φίλων. νόσφι.] χωρίς. λιασθείς.] χωρισθείς. θῖν' ἐφ' ἁλός.] ἐπὶ τὸν αἰγιαλὸν τῆς θαλάσ-

πολιῆς.] λευκῆς, διὰ τὸν ἀφρόν. ὁρόων.] ὁρῶν, βλέπων. ἐπὶ οἴνοπα.] ἐπὶ τὸν μέλανα. πόντον.] τὴν θάλασσαν. ἠρήσατο.] ηὔξατο. ὀρεγνύς.] ἐκτείνας. ἐπεί με.] ἐπειδή με. μινυνθάδιον.] ὀλιγοχρόνιον. ἐόντα.] ὄντα, ὑπάρχοντα. τιμήν πέρ μοι.] τὴν τιμὴν δή μοι. ὄφελλεν.] ὤφειλεν. Ὀλύμπιος.] ὁ τὸν ὄλυμπον κατοικῶν Ζεύς. ὁ δὲ Ὄλυμπος ὄρος Μακεδονίας, ἱερὸν οἰκητήριον τῶν θεῶν, ἀλληγορικῶς δὲ ὁ οὐρανός. ἐγγυαλίξαι.] ἐγχειρίσαι, παρασχεῖν. ὑψιβρεμέτης.] ὁ ἐν ὕψει ἠχῶν, ὅ ἐστι βροντῶν. βρέμος δὲ κυρίως ὁ ἐκ τοῦ πυρὸς ἦχος. οὐδέ με τυτθόν.] οὐδὲ ὀλίγον με. ἔτισεν.] ἐτίμησεν. ἦ γάρ μ' Ἀτρείδης.] ὁ Ἀγαμέμνων γάρ με. ἑλὼν γάρ.] ἀφελόμενος γὰρ τὴν τιμήν μου ἔχει. ἀπούρας.] ἀφορίσας, ἀφελόμενος. δακρυχέων.] δάκρυα χέων, κλαίων. πότνια.] σεβασμία, ἔντιμος. ἡμένη.] καθεζομένη. ἐν βένθεσιν.] ἐν τοῖς βάθεσιν. πατρὶ γέροντι.] τῷ Νηρεῖ. τὸν δὲ Νηρέα οἱ ποιηταὶ παριστῶσιν ἡμῖν δαίμονα θαλάσσιον. ἀφ' οὗ καὶ Δωρίδος τῆς Ὠκεανοῦ αἱ Νηρηΐδες. καρπαλίμως.] ταχέως. ἀνέδυ.] ἀνῆλθεν. ἠΰτ' ὀμίχλη.] ἔστι δὲ ὀμίχλη, ὁ παχὺς καὶ ὑγρότατος ἀήρ. καί ῥα.] καὶ δή. πάροιθεν.] ἔμπροσθεν. αὐτοῖο.] αὐτοῦ. καθέζετο.] ἐκαθέζετο. δακρυχέοντος.] δάκρυα χέοντος. χειρί τέ μιν.] καὶ τῇ χειρὶ αὐτόν. κατέρεξε.] κατέψηξε, καθωμάλισεν. ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.] τόν τε λόγον εἶπε καὶ τὰ μέρη αὐτοῦ διεξῆλθε. ἵκετο.] κατέλαβεν. πένθος.] λύπη. ἐξαύδα.] ἔξειπε, λέξον. μὴ κεῦθε.] μὴ κρύπτε. νόῳ.] τῇ διανοίᾳ. εἴδομεν.] αὐτὸ τοῦτο, εἰδῶμεν, μάθωμεν. ἄμφω.] ἀμφότεροι, ἐγώ τε ἡ Θέτις καὶ σὺ ὁ Ἀχιλλεύς. βαρυστενάχων.] βαρέως στενάζων. οἶσθα.] οἶδας, ἐπίστασαι. τίη τοι.] τί δή σοι. ἀγορεύω.] λέγω. ᾠχόμεθ' ἐς Θήβην.] παρεγενόμεθα εἰς τὰς Θήβας. νῦν δὲ λέγει τὰς Ὑποπλακίους, ὧν ἐβασίλευεν Ἠετίων ὁ Ἀνδρομάχης πατήρ. Κίλικες ἔθνος βάρβαρον τῆς ὑπὸ τὸ Πλάκιον ἱερᾶς Θήβης. τούτων ἦρχε τῶν Κιλίκων Ἠετίων, ἔχων υἱοὺς ἑπτά, θυγατέρα δὲ τὴν Ἀνδρομάχην τὴν γαμηθεῖσαν Ἕκτορι τῷ υἱῷ Πριάμου, κατὰ δὲ τοὺς Τρωϊκοὺς πολέμους, ἐπιστρατεύσας Ἀχιλλεὺς τῇ Θήβῃ καὶ τὴν πόλιν πορθήσας, τόν τε Ἠετίωνα ἀνεῖλε σὺν τοῖς τέκνοις. μεθ' ὃ ἐς Λυρνησσὸν πορθήσας καὶ τὴν πόλιν ἐξελών, αἰχμάλωτον ἦγεν ἐκ Λυρνησσοῦ τὴν Βρισηΐδα, ἣν γέρας αὐτῷ ἐψηφίσαντο Ἕλληνες. ἀπὸ δὲ τῆς Χρύσης, Χρυσηΐδα τὴν Χρύσου τοῦ ἱερέως τοῦ Ἀπόλλωνος θυγατέρα. ἣν Ἀγαμέμνων κλήρῳ λαχὼν, τῷ πατρὶ δεομένῳ οὐκ ἀπέλυσεν, ἐξ οὗ ὀργισθεὶς ὁ θεὸς ἐπέμψε τοῖς Ἕλλησι λοιμόν, ὅ ἐστι λοιμικὴν νόσον. ἔνιοι δέ φασιν ὅτι ἡ Χρυσηΐς ἐκ Θηβῶν ἐλήφθη. τῆς γὰρ Χρύσης φασὶν οὔσης πολιχνίου ἀτειχίστου καὶ εὐτελοῦς, ὡς ἐν ἀσφαλεστάτῃ καὶ μείζονι τῇ Θήβῃ, οἱ ἀπ' αὐτῆς προσερρυηκότες ἦσαν διὰ τὸν πόλεμον. τρεῖς γάρ εἰσι Θῆβαι. αἱ Ὑποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται καὶ ἐν τῇ ζ. καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται ἐν τῇ δ. καὶ ἐν τῇ ε. καὶ αἱ τῆς Αἰγύπτου, ὧν μέμνηται ἐν τῇ ι. Θῆβαι δὲ αὗταί εἰσι τὸ νῦν Ἀδραμύττιον καλούμενον. ἱερήν.] ἱεράν, μεγάλην, καὶ θαυμαστήν. διεπράθομεν.] διεπορθήσαμεν. καὶ ἤγομεν.] καὶ ἠγάγομεν. καὶ τὰ μέν.] καὶ ταῦτα μέν. εὖ δάσσαντο.] καλῶς ἐμέρισαν. μετὰ σφίσιν.] ἐν αὐτοῖς. ἐκ δ' ἕλον.] ὡς ἐξαίρετον ἔλαβον καὶ ἔδωκαν. τοῖο.] τούτου. ἐπεὶ μάλα οἱ φίλος ἦεν.] ἐπειδὴ πάνυ αὐτῷ προσφιλὴς ὑπῆρχεν. ἦκεν.] ἀφῆκεν, ἔπεμψεν.

Πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς·
Μῆτερ, ἐπεί μ' ἔτεκές γε μινυνθάδιόν περ ἐόντα,
Τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι
Ζεὺς ὑψιβρεμέτης· νῦν δ' οὐδέ με τυτθὸν ἔτισεν.
Ἦ γάρ μ' Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
Ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
Ὣς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ,
Ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι.
Καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς, ἠΰτ' ὀμίχλη.
Καί ῥα πάροιθ' αὐτοῖο καθέζετο δακρυχέοντος.
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε.
Τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
Ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
Τὴν δὲ βαρυστενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Οἶσθα· τίη τοι ταῦτ' εἰδυίῃ πάντ' ἀγορεύω;
Ὠχόμεθ' ἐς Θήβην ἱερὴν πόλιν Ἠετίωνος.
Τὴν δὲ διεπράθομέν τε, καὶ ἤγομεν ἐνθάδε πάντα.
Καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
Ἐκ δ' ἕλον Ἀτρείδῃ Χρυσηΐδα καλλιπάρῃον.
Χρύσης δ' αὖθ' ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος,
Ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων,
Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα.
Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος +
Χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ ἐλίσσετο πάντας Ἀχαιούς.
Ἀτρείδα δὲ μάλιστα δύω κοσμήτορε λαῶν,
Ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοί,
Αἰδεῖσθαί θ' ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα.
Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,
Ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
Χωόμενος δ' ὁ γέρων, πάλιν ᾤχετο· τοῖο δ' Ἀπόλλων
Εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν.
Ἧκε δ' ἐπ' Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοί,

Θνῆσκον

οἱ δέ νυ λαοί.] οἱ δὲ δὴ ὄχλοι. θνῆσκον.] ἀπέθνησκον. ἐπασσύτεροι.] ἐπάλληλοι, πυκνοί. πάντῃ.] πανταχοῦ. εἰς ὅλον τὸ στράτευμα. ἄμμι δέ.] ἡμῖν δέ. εὖ εἰδώς.] ἀκριβῶς ἐπιστάμενος. ἑκάτοιο.] Ἀπόλλωνος, τοῦ μακρόθεν βάλλοντος τοῖς τοξικοῖς. κελόμην.] ἐκέλευον. ἱλάσκεσθαι.] ἐξιλεοῦσθαι, ἐξευμενίζεσθαι. Ἀτρείωνα.] τὸν Ἀγαμέμνονα. χόλος λάβεν.] ὀργὴ κατέλαβεν. αἶψα δέ.] ταχέως δέ. ἠπείλησεν.] ἐπηγγείλατο. ἑλίκωπες.] μελανόφθαλμοι. ἑλικὸν γὰρ κατὰ διάλεκτον τὸ μέλαν. ἢ οἱ ἑλικοειδῶς τοὺς ὦπας κινοῦντες. τουτέστιν, οἱ τοὺς ὀφθαλμοὺς εὐειδεῖς. δῶρα.] νεῶ θυσίας.

νέον.] νεωστί. κλισίηθεν.] ἀπὸ δὲ σκηνῆς. ἔβαν.] ἔβησαν, ἐπορεύθησαν. ἄγοντες.] ἀποφέροντες. τήν μοι.] ἥν τινά μοι. κούρην Βρισῆος.] τὴν Βρισέως θυγατέρα Βρισηΐδα. ἔοικε δὲ πατρωνυμικῶς τὰ ὀνόματα κατὰ σχηματίζειν ὁ Ποιητὴς, καὶ οὐ κυρίως. ὡς γὰρ οἱ ἄλλοι ἀρχαῖοι ἱστοροῦσιν. ἡ μὲν, Ἀστυνόμη ἐκαλεῖτο, ἡ δὲ Ἱπποδάμεια. περίσχεο.] περίσχου, φρόντισον. ἑῆος.] αὐτοῦ τοῦ σοῦ. οἱ δὲ ἀγαθοῦ. προσηνοῦς. ἢ ἰδίου. λίσαι.] λιτάνευσον. ἢ ἔπει.] ἢ λόγῳ. ὤνησας.] ὠφέλησας. κραδίην Διός.] τὸν Δία περιφραστικῶς. ἠὲ καὶ ἔργῳ.] ἢ αὐτῷ τῷ ἔργῳ. πολλάκι γάρ σεο.] πολλάκις γάρ σου. πατρὸς ἐνὶ μεγάροισιν.] ἐν τοῖς τοῦ πατρός μου Πηλέως οἴκοις. ἐν θαλάσσῃ γὰρ Πηλεὺς κατοικεῖν οὐκ ἠδύνατο. ἄκουσα.] ἤκουσα.

εὐχομένης.] καυχωμένης. ὅτ' ἔφησθα.] ὅτε ἔλεγες. κελαινεφεῖ.] τῷ τὰς νεφέλας μελαίνοντι ὀμβροποιῷ. Κρονίωνι.] τῷ τοῦ Κρόνου παιδί. οἴη.] μόνη. ἐν ἀθανάτοισιν.] ἐν τοῖς θεοῖς. ἀεικέα.] ἀπεοικότα, χαλεπόν. λοιγόν.] ὄλεθρον, φθοράν. ἀμῦναι.] ἀποσοβῆσαι, ἀποστρέψαι. ὁππότε μιν.] ὁπηνίκα αὐτόν. ξυνδῆσαι.] συνδῆσαι. Ἰὰς ἡ διάλεκτος. ὀλύμπιοι ἤθελον ἄλλοι.] οἱ Τι-
» τᾶνες. καὶ γὰρ ἐν ἄλλοις φησὶ, μάλα γὰρ
» κε μάχης ἐπύθοντο καὶ ἄλλοι, οἵπερ νέρ-
» τεροι εἰσὶ θεοὶ Κρόνον ἀμφὶς ἐόντες.

Θνῆσκον ἐπασσύτεροι. τὰ δ' ἐπῴχετο κῆλα θεοῖο
Πάντῃ ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν. ἄμμι δὲ μάντις
Εὖ εἰδὼς ἀγόρευε θεοπροπίας ἑκάτοιο.
Αὐτίκ' ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι,
Ἀτρείωνα δ' ἔπειτα χόλος λάβεν. αἶψα δ' ἀναστὰς,
Ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστί.
Τὴν μὲν γὰρ σὺν νηῒ θοῇ ἑλίκωπες Ἀχαιοὶ
Ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι.
Τὴν δὲ, νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
Κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.
Ἀλλὰ σὺ εἰ δύνασαί γε, περίσχεο παιδὸς ἑῆος,
Ἐλθοῦσ' οὔλυμπόνδε, Δία λίσαι, εἴποτε δή τι
Ἢ ἔπει ὤνησας κραδίην Διὸς, ἠὲ καὶ ἔργῳ.
Πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
Εὐχομένης, ὅτ' ἔφησθα κελαινεφεῖ Κρονίωνι
Οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
Ὁππότε μιν ξυνδῆσαι ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ', ἠδὲ Ποσειδάων, καὶ Παλλὰς Ἀθήνη.
Ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ, ὑπελύσαο δεσμῶν,
Ὦχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν ὄλυμπον,
Ὃν Βριάρεων καλέουσι θεοί. ἄνδρες δέ τε πάντες +
Αἰγαίων'. ὁ γὰρ αὖτε βίῃ οὗ πατρὸς ἀμείνων,
Ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων.
Τὸν, καὶ ὑπέδεισαν μάκαρες θεοί, οὐδέ τ' ἔδησαν.
Τῶν νῦν μιν μνήσασα, παρέζεο, καὶ λάβε γούνων,
Αἴκεν πως ἐθέλῃσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι.
Τοὺς δὲ, κατὰ πρύμνας τε, καὶ ἀμφ' ἅλα ἔλσαι Ἀχαιοὺς

Κτεινομέ-

» Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη.] γράφεται, καὶ Φοῖβος Ἀπόλλων. Ζεὺς γὰρ παραλαβὼν τὴν ἐν οὐρανῷ διοίκησιν, ὑβριστὴς τῇ παρρησίᾳ ἐχρῆτο. πολλὰ αὐθάδη διαπραττόμενος Ποσειδῶν δὲ καὶ Ἥρα, καὶ Ἀπόλλων, καὶ Ἀθηνᾶ ἐβούλοντο αὐτὸν δήσαντες ὑποτάξαι. Θέτις δὲ ἀκούσασα παρὰ τοῦ πατρὸς Νηρέως, ἦν γὰρ μάντις, τὴν κατὰ Διὸς ἐπιβουλὴν, ἔσπευσε πρὸς αὐτὸν, ἐπαγομένη Αἰγαίωνα φοβερὸν τῶν ἐπιβουλευόντων θεῶν. ἦν δὲ θαλάσσιος δαίμων οὗτος. καὶ τὸν πατέρα Ποσειδῶνα κατεβράβευεν. ἀκούσας δὲ ὁ Ζεὺς Θέτιδος, τὴν μὲν Ἥραν, ἐν τοῖς κατ' αὐτοῦ δεσμοῖς ἐκρέμασε. Ποσειδῶνι δὲ καὶ Ἀπόλλωνι, τὴν παρὰ Λαομέδοντι θητείαν ἐψηφίσατο. τῇ δὲ Θέτιδι, τὴν Ἀχιλλέως τιμὴν εἰς τὰ μετὰ ταῦτα, ἐταμιεύσατο. ἱστορεῖ Δίδυμος. ὑπελύσαο.] ἐξέλυσας. ὦκα.] ταχέως, σπουδαίως. ἑκατόγχειρον.] ἑκατοντάχειρα Αἰολικῶς. τοὺς ἑκατοντάχειρας δὲ, γράφει Ἡσίοδος οὐρανοῦ καὶ γῆς γένος. μακρόν.] μέγαν. ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες Αἰγαίων'.] τὸ πλῆρες, Αἰγαίωνα. τῶν δὲ συνωνύμων, τὸ μὲν πρότερον ὄνομα, Ὅμη-
» ρος εἰς θεοὺς ἀναφέρει. τὸ δὲ δεύτερον, εἰς ἀνθρώπους, ὡς καὶ τὸ, Χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν.
» καὶ περὶ τοῦ ποταμοῦ, ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον. ὁ γὰρ αὖτε.] οὗτος γὰρ δή. βίῃ.] βίᾳ, δυνάμει. οὗ πατρός.] τοῦ ἰδίου πατρός. ἀμείνων.] ἰσχυρότερος, βελτίων. ὅς ῥα.] ὅστις δή. Κρονίωνι.] Κρόνου παιδί, Διΐ. κύδεϊ γαίων.] τῇ αὐτοῦ δόξῃ γαυριῶν, καὶ σεμνυνόμενος. ὑπέδεισαν.] ἐφοβήθησαν. οὐδέ τ' ἔδησαν.] τὸ πλῆρες, οὐκ ἔτι ἔδησαν. τῶν νῦν μιν.] τούτων δὴ ἐπὶ τοῦ παρόντος αὐτόν. μνήσασα.] ὑπομνήσασα.

παρέζεο.] παρακάθιζε. καὶ λάβε γούνων.] τῶν γονάτων κράτησον. αἴκεν πως.] ἐάν πως. ἐθέλῃσι.] βουληθῇ, θελήσῃ. ἐπὶ Τρώεσσιν ἀρῆξαι.] ἐπιβοηθῆσαι τοῖς Τρωσί. τοὺς δέ.] τοὺς Ἕλληνας. κατὰ πρύμνας.] τὰς ναῦς. ἀπὸ

μέρους

μέρους φασί. πρύμνα γὰρ μέρος τῆς νηὸς τὸ ἔσχατον. καὶ ἀμφ᾽ ἅλα.] καὶ περὶ τὴν θάλασσαν. ἔλσαι.] συνελάσαι, συγκλεῖσαι. κτεινομένους.] ἀναιρουμένους, φονευομένους. ἵνα πάντες ἐπαύρωνται βασιλῆος.] ἵν᾽ ἀπολαύσωσι πάντες τῆς ἀβουλίας τοῦ βασιλέως. τουτέστιν, ἵνα ἀπόλωνται διὰ αὐτόν. γνῷ.] γνωρίσῃ, μάθῃ. ἣν ἄτην.] τὴν ἰδίαν ἀβουλίαν καὶ βλάβην. ὅτ᾽ ἄριστον.] ὅτι τὸν ἄριστον. ἀντὶ τοῦ, ἐμὲ τὸν Ἀχιλλέα. οὐδὲν ἔτισε.] κατ᾽ οὐδὲν ἐτίμησεν. ἠμείβετο.] ἀπεκρίνατο. δακρυχέουσα.] δακρύουσα, κλαίουσα. τί νυ.] διατί δή σε ἀνέτρεφον. αἰνὰ τεκοῦσα.] ἐπὶ κακῷ γεννήσασα. αἴθ᾽ ὄφελες.] εἴθε ὤφελες. ἔστιν ἐπίρρημα εὐκτικόν. ἀδάκρυτος.] ἄνευ δακρύων, ἄλυπος. ἀπήμων.] ἀβλαβής. ἐπεὶ νύ τοι.] ἐπειδή σοι. αἶσα.] εἱμαρμένη, μοῖρα. μίνυνθα.] ἐπ᾽ ὀλίγον χρόνον. ἅμα.] ὁμοῦ. ὠκύμορος.] ταχυθάνατος. ὀϊζυρός.] ἐπίπονος, ταλαίπωρος, ἄθλιος. περὶ πάντων.] ἀντὶ τοῦ, ὑπὲρ πάντας ἀνθρώπους. ἔπλεο.] ἐγένου. Λέγεται γὰρ τὴν Θέτιν παρὰ Διὸς μαθεῖν τὰ περὶ Ἀχιλλέως. ὅτι εἰ μὲν μένει ἐν τῇ Φθίᾳ μὴ συμπλεύσας τοῖς Ἕλλησιν ἐς τὴν Ἴλιον, πολλὴ μὲν ἔσται αὐτῷ ζωὴ, ἄδοξος δέ. εἰ δὲ συνέλθοι αὐτοῖς, ἔσται ὀλιγοχρόνιος μὲν, ἀλλὰ ἀοίδιμος καὶ εὐκλεής. ὅθεν ὡς προειδυῖα ἡ Θέτις τοῦτο, ἦν αὐτὸν παραθεμένη ἐς τὸν Λυκομήδους παρθενῶνα ὡς κόρην ἐν τῇ Σκύρῳ. ἡ δὲ Σκῦρος μία ἐστὶ τῶν Κυκλάδων. τῷ σε.] διὸ δή σε. κακῇ αἴσῃ.] κακῇ μοίρᾳ. τέκον.] ἔτεκον, ἐγέννησα. ἐν μεγάροισιν.] ἐν τοῖς οἴκοις. ἐρέουσα.] λέξουσα, ἀπαγγελοῦσα. τερπικεραύνῳ.] τερπομένῳ κεραυνοῖς, ἢ καταγωνιζομένῳ τοὺς ἐναντίους καὶ τρέποντι κεραυνοῖς. εἶμι.] ἄπειμι, πορεύσομαι. προπερισπωμένως δὲ ἀναγνωστέον. εἰ δὲ ὀξυτόνως, δηλοῖ τὸ ὑπάρχω ἡ λέξις. ἀγάννιφον.] τὸν λίαν νιφόμενον τὰ ὑπὸ τοῖς νέφεσι μέρη. τὰ γὰρ ἄκρα τοῦ Ὀλύμπου, ὡς ὑπερνεφῆ καὶ ὑπερνεφῆ, οὔτε νίφεται, οὔτε κατομβρεῖται. κατ᾽ αὐτὸν τὸν ποιητὴν λέγοντα, Οὔλυμπόνδ᾽ ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ Ἔμμεναι, οὔτ᾽ ἀνέμοισι τινάσσεται. οὔτε ποτ᾽ ὄμβρῳ δεύεται. οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ᾽ αἴθρη πέπταται ἀνέφελος. λευκὴ δ᾽ ἐπιδέδρομεν αἴγλη. ἀγάννιφον οὖν ἤτοι τὸν πάνυ κατανιφόμενον. ἢ οὐδ᾽ ὅλως. Αἴκε πίθηται.] ἐὰν πεισθῇ. ὠκυπόροισι.] ταχέως πλεούσαις. μήνιε.] ὀργίζου. πάμπαν.] παντελῶς, πάνυ. ἐς Ὠκεανόν.] παρὰ τὸν Ὠκεανόν. ὁ δὲ Ὠκεανὸς ποταμός ἐστι καθ᾽ Ὅμηρον. ἀμύμονας.] ἀμωμήτους, ἀγαθοὺς, ἢ ἀψόγους. Αἰθιοπῆας.] Αἰθίοπας. χθιζός.] χθές. μετὰ δαῖτα.] ἐπὶ εὐωχίαν. ἕποντο.] ἠκολούθησαν. ἐλεύσεται.] παραγενήσεται, ἐλεύσεται. Οὔλυμπόνδε.] εἰς τὸν Ὄλυμπον. Διὸς ποτί.] πρὸς τὸ τοῦ Διός. χαλκοβατές.] ἰσχυρῶς βεβηκὸς, στερεόν. δῶ.] δῶμα, οἰκίαν. τὸ δὲ πάθος ἀποκοπή. γουνάσομαι.] λιτανεύσω, γονυπετήσω. πείσεσθαι.] πεισθήσεσθαι. ὡς ἀμφίβολον δὲ αὐτό φησι. διότι ᾔδει τὸ αὐτοπαθὲς τῆς Ἥρας. ὡς ἄρα.] οὕτως δή. φωνήσασα.] εἰποῦσα. ἀπεβήσατο.] ἀπέβη, ἀπῆλθεν. λίπε.] κατέλιπεν. αὐτοῦ.] ἀντὶ τοῦ αὐτόθι ἐπὶ τοῦ τόπου. χωόμενον.] λυπούμενον, ὀργιζόμενον. ἐϋζώνοιο.] εὐζώνου, καλῶς καὶ εὐστόλου, ἀφ᾽ οὗ εὐειδοῦς, ἀπὸ μέρους. τήν ῥα.] ἥν τινα δή. βίῃ.] βίᾳ, δυνάμει, μετὰ βίας. ἀέκοντος.] ἄκοντος, μὴ βουλομένου. ἀπηύρων.] ἀφείλοντο. αὐτὰρ Ὀδυσσεύς.] ὁ δὲ Ὀδυσσεὺς ἐν τοσούτῳ εἰς Χρύσην.] ἐς Χρύσαν. ἵκανε.] παρεγένετο, ἔφθασεν. οἱ δ᾽ ὅτε.] οὗτοι δὲ ὁπότε. ἱερήν.] ἱεράν, μεγάλην. λιμένος.] τοῦ αἰγιαλοῦ. πολυβενθέος.] πολὺ βάθος ἔχοντος βαθυτάτου. ἱστία.] τῆς νηὸς ἡ ὀθόνη, ὅ ἐστι τὸ ἄρμενον, ἱστίον λέγεται. ἱστὸς δὲ, τὸ μέγα ξύλον τὸ καταρτίον λεγόμενον ὑπὸ τῶν ναυτικῶν. στείλαντο.] συνέστειλαν, καθεῖλον. θέσαν.] ἔθηκαν. ἱστοδόκῃ.] τῇ ὑποδεχομένῃ τὸν ἱστὸν ἱστοδόκῃ. λέγει δὲ τῷ κατὰ τὴν πρύμναν ἀνέχοντι ξύλῳ, καθ᾽ ὃ κλίνεται ὁ ἱστός. πέλασαν.] προσεπέλασαν, προσήγαγον. μετωνυμία. τουτέστι πελασθῆναι ἐποίησαν. προτόνοισι.] τοῖς προτεταμένοις κάλοις, οἵ τινες τὸν ἱστὸν περιτάνυσιν ἵνα ᾖ ὀρθός. ὑφέντες.] ἐνδόσαντες, χαλάσαντες. καρπαλίμως.] ταχέως

Κτεινομένους. ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
Γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
Ἣν ἄτην. ὅτ᾽ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα,
Ὤ, μοι τέκνον ἐμόν. τί νύ σ᾽ ἔτρεφον αἰνὰ τεκοῦσα;
Αἴθ᾽ ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος, καὶ ἀπήμων
Ἧσθαι. ἐπεὶ νύ τοι αἶσα μίνυνθά περ, οὔτι μάλα δήν.
Νῦν δ᾽ ἅμα τ᾽ ὠκύμορος, καὶ ὀϊζυρὸς περὶ πάντων
Ἔπλεο. τῷ, σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισιν.
Τοῦτο δέ τοι ἐρέουσα ἔπος Διῒ τερπικεραύνῳ
Εἶμ᾽ αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον, αἴκε πίθηται.
Ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισιν,
Μήνι᾽ Ἀχαιοῖσιν. πολέμου δ᾽ ἀποπαύεο πάμπαν.
Ζεὺς γὰρ ἐπ᾽ Ὠκεανὸν μετ᾽ ἀμύμονας Αἰθιοπῆας +
Χθιζὸς ἔβη μετὰ δαῖτα. θεοὶ δ᾽ ἅμα πάντες ἕποντο,
Δωδεκάτῃ δέ τοι αὖθις ἐλεύσεται Οὔλυμπόνδε.
Καὶ τότ᾽ ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ
Καί μιν γουνάσομαι. καί μιν πείσεσθαι ὀΐω.
Ὣς ἄρα φωνήσασ᾽, ἀπεβήσατο. τὸν δ᾽ ἔλιπ᾽ αὐτοῦ,
Χωόμενον κατὰ θυμὸν ἐϋζώνοιο γυναικὸς,
Τήν ῥα βίῃ ἀέκοντος ἀπηύρων. αὐτὰρ Ὀδυσσεὺς,
Ἐς Χρύσην ἵκανεν ἄγων ἱερὴν ἑκατόμβην.
Οἱ δ᾽ ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,
Ἱστία μὲν στείλαντο, θέσαν δ᾽ ἐν νηῒ μελαίνῃ.
Ἱστὸν δ᾽ ἱστοδόκῃ πέλασαν προτόνοισιν ὑφέντες,
Καρπαλίμως τὴν δ᾽ εἰς ὅρμον προέρυσσαν ἐρετμοῖς.

εἰς ὅρμον.] εἰς τὸν λιμένα, ἀπὸ τοῦ ὁρμᾶν καὶ ἵστασθαι ἐν αὐτῷ τὰς ναῦς. προέρυσαν.] προσήλασαν, προσήγαγον. ἐρετμοῖς.] εἰρεσίαις, κωπηλασίαις. ἐκ δ᾽ εὐνάς.] τὰς ἀγκύρας, νῦν λέγει τὰς σιδηρᾶς. παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλωμένας εἰς τὸ ὕδωρ, καὶ ποιεῖν ἵστασθαι. τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ Ποιητῇ· τὴν κοίτην. ὡς ὅταν λέγῃ εὐνῇ ἐνὶ μαλακῇ. τὴν ἄγκυραν ὡς νῦν· ἐκ δ᾽ εὐνὰς ἔβαλον. τὴν διατριβήν. ὡς τό, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς. ἔβαλον.] ἐξέβαλον, καὶ καθῆκαν. πρυμνήσια.] τὰ ἀπόγεια σχοινία. οἷς ἐκ τῆς πρύμνης προσδεσμεῖται ἡ ναῦς πρὸς τῇ γῇ.

Ἐκ δ᾽ εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι᾽ ἔδησαν.
Ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἐκ δ᾽ ἑκατόμβην βῆσαν ἑκηβόλῳ Ἀπόλλωνι.
Ἐκ δὲ Χρυσηῒς νηὸς βῆ ποντοπόροιο.
Τὴν μὲν ἔπειτ᾽ ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσσεύς,
Πατρὶ φίλῳ ἐν χερσὶ τίθει, καί μιν προσέειπεν,
Ὦ Χρύση, πρό μ᾽ ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Παῖδά τε σοὶ ἀγέμεν, Φοίβῳ θ᾽ ἱερὴν ἑκατόμβην
Ῥέξαι ὑπὲρ Δαναῶν, ὄφρ᾽ ἱλασόμεσθ᾽ ἄνακτα,
Ὃς νῦν Ἀργείοισι πολύστονα κήδε᾽ ἐφῆκεν.
  Ὣς εἰπὼν ἐν χερσὶ τίθει. ὁ δ᾽ ἐδέξατο χαίρων,
Παῖδα φίλην. τοὶ δ᾽ ὦκα θεῷ κλειτὴν ἑκατόμβην,
Ἑξείης ἔστησαν ἐΰδμητον περὶ βωμόν.
Χερνίψαντο δ᾽ ἔπειτα, καὶ οὐλοχύτας ἀνέλοντο.
Τοῖσιν δὲ Χρύσης μεγάλ᾽ εὔχετο χεῖρας ἀνασχών.
  Κλῦθί μευ ἀργυρότοξ᾽, ὃς Χρύσην ἀμφιβέβηκας,
Κίλλαν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.
Ἤδη μέν ποτ᾽ ἐμεῦ πάρος ἔκλυες εὐξαμένοιο.
Τίμησας μὲν ἐμέ, μέγα δ᾽ ἴψαο λαὸν Ἀχαιῶν.
Ἠδ᾽ ἔτι καὶ νῦν μοι τόδ᾽ ἐπικρήηνον ἐέλδωρ.
Ἤδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυνον.
  Ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων.
Αὐτὰρ ἐπεί ῥ᾽ εὔξαντο, καὶ οὐλοχύτας προβάλοντο,
Αὐέρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν, +
Μηρούς τ᾽ ἐξέταμον, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν,
Καῖε δ᾽ ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ᾽ αἴθοπα οἶνον.
Λεῖβε. νέοι δὲ παρ᾽ αὐτὸν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ᾽ ἐκάη, καὶ σπλάγχν᾽ ἐπάσαντο.
Μίστυλλόν τ᾽ ἄρα τ᾽ ἄλλα, καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν.
Ὤπτη-

ἐκ δὲ καὶ αὐτοὶ βαῖνον.] ἐξέβαινον δὲ καὶ αὐτοί. ἐπὶ ῥηγμῖνι.] ἐπὶ τῷ αἰγιαλῷ. οὕτως δὲ εἴρηται ἀπὸ τοῦ παραῤῥήσσεσθαι αὐτῷ τὰ κύματα. ἐκ δὲ Χρυσηῒς νηὸς βῆ.] ἐξέβη δὲ καὶ ἡ Χρυσηῒς τῆς νηός. ποντοπόροιο.] τῆς τὸν πόντον περώσης, θαλασσοπλόου.
πολύμητις.] πολύβουλος, συνετός.
ἐν χερσὶ τίθει.] ἐν ταῖς χερσὶ τοῦ πατρὸς ἐδίδου. καί μιν.] καὶ αὐτόν.
πρό μ᾽ ἔπεμψε.] προέπεμψέ με. ἄναξ ἀνδρῶν.] ὁ βασιλεὺς τῶν ἀνθρώπων.
παῖδά τε σοί.] καὶ τὴν θυγατέρα σοι.
ἀγέμεν.] ἄγειν. Φοίβῳ θ᾽.] καὶ τῷ Ἀπόλλωνι. ῥέξαι.] ἐπιτελέσαι, θῦσαι, ἱερουργῆσαι. ὄφρ᾽ ἱλασώμεθα.] ὅπως ἐξιλεωσώμεθα. ἄνακτα.] τὸν Ἀπόλλωνα νῦν. πολύστονα.] πολλῶν στεναγμῶν αἴτια. κήδεα.] κακά.
ἐφῆκεν.] ἐπέπεμψε. παῖδα φίλην.] τὴν προσφιλῆ θυγατέρα. ὦκα.] ταχέως. κλειτήν.] ἔνδοξον. ἑξείης.] ἐφεξῆς. ἐΰδμητον.] περὶ τὸν καλῶς ᾠκοδομημένον βωμόν. χερνίψαντο.] τὰς χεῖρας ἐνίψαντο. οὐλοχύτας.] οὐλάς. εἰσὶ δὲ κριθαὶ μετὰ ἁλῶν μεμιγμέναι. ἃς ἐπέχεον τοῖς ἱερουργουμένοις ζώοις πρὸ τοῦ θύεσθαι, ἤτοι πολυπληθείας χάριν, ἢ μνήμην ποιούμενοι τῆς ἀρχαίας βρώσεως. ὡς γάρ φησι Θεόφραστος ἐν τῷ περὶ εὑρημάτων, πρὶν ἢ μαθεῖν οἱ ἄνθρωποι ἀλεῖν τὸν Δημητριακὸν καρπὸν οὕτω σώας αὐτὰς ἤσθιον. ὅθεν οὐλὰς αὐτάς φησιν ὁ Ποιητής.
προβάλοντο.] προήνεγκαν, ἐβάστασαν.
μεγάλ᾽ εὔχετο.] μεγάλως ηὔχετο.
ἀνασχών.] ἀνατείνας. πάρος.] ἔμπροσθεν, ἢ πρότερον. ἐμεῦ.] ἐμοῦ. ἔκλυες.] ἐπήκουες ἐμοῦ εὐχομένου. τίμησας.] τιμῆς ἠξίωσας, ἐτίμησας.
μέγα δ᾽ ἴψαο.] μεγάλως ἔβλαψας. ἠδ᾽ ἔτι καὶ νῦν μοι.] καὶ νῦν δή μοι. ἐπικρήηνον.] ἐπιτέλεσον. ἐέλδωρ.] ἐπιθύμημα. ἀεικέα λοιγόν.] αἰκιστικὸν ἀπρεπῆ, καὶ χαλεπὸν ὄλεθρον. ἄμυνον.] ἀπόστρεψον, κατάπαυσον. αὐτὰρ ἐπεί ῥ.] ἐπειδὴ δέ. οὐλοχύτας.] νῦν τὰ κανᾶ. αὐέρυσαν.] εἰς τοὐπίσω ἀνέκλασαν τὸν τράχηλον τοῦ θυομένου ἱερείου. ὡς προσέχειν εἰς οὐρανὸν τοῖς θεοῖς, οἷς καὶ ἐθύοντο. ὡς καὶ αὐτῶν ὄντων ἐν οὐρανῷ. πάλιν δὲ τοῖς ἥρωσιν ὡς κατοιχομένοις ἔντομα ἔθυον ἀποβλέποντα κάτω εἰς γῆν. ἔδειραν.] ἐξέδειραν. μηρούς.] τὰ μηριαῖα ὀστᾶ.
ἐξέταμον.] ἐξέταμον, ἐξέκοψαν. κατά τε κνίσῃ ἐκάλυψαν.] καὶ ἐκάλυψαν τὰ μηρία τῷ λίπει. δίπτυχα ποιήσαντες.] διπλώσαντες τὴν κνίσαν. νῦν δὲ λέγει τὸν ἐπίπλουν. ἐπ᾽ αὐτῶν δὲ ὠμοθέτησαν.] ἀπ᾽ αὐτῶν δὲ ὤμων τῶν ἱερείων ἀπαρξάμενοι ἔκοψαν μικρὸν ἀπὸ παντὸς μέρους καὶ ἐπέθηκαν ἐπὶ τὰ μηρία, ὡς δοκεῖν ὅλα τὰ μέλη τοῦ ἱερείου καρποῦσθαι.
καῖε δ᾽.] ἔκαιε δέ. ἐπὶ σχίζῃς.] ἀντὶ τοῦ ἐπὶ σχιζῶν. αἴθοπα.] μέλανα, ἢ θερμόν. λεῖβεν.] ἐπέσπενδε. νέοι.] νεανίσκοι. ἔχον.] κατεῖχον, ἐκράτουν. πεμπώβολα.] πέντε ὀβολοὺς ἔχοντα ἐκ μιᾶς λαβῆς κρατουμένης τριαινοειδῶς. κατὰ μῆρ᾽ ἐκάη.] κατεκάη τὰ μηριαῖα ὀστᾶ. σπλάγχνα.] ἧπατα. ἐπάσαντο.] ἐγεύσαντο. μίστυλλον.] εἰς μικρὰ διέκοψαν.

σ᾽ ἀμφ᾽

τὰ ἄρα τ' ἄλλα.] καὶ τὰ ἄλλα. ἀμφ' ὀβελοῖσιν ἔπειραν.] καὶ τοῖς ὀβελίσκοις περιέπειραν. περιφραδέως.] πάνυ ἐμπείρως, καὶ ἐντέχνως. ἐρύσαντο.] εἰς τοὐπίσω εἵλκυσαν τοῦ πυρός. πόνου.] τῆς περὶ τὴν εὐωχίαν ἀσχολίας. τετύκοντο.] κατεσκεύασαν, ηὐτρέπιζον. δαῖτα.] εὐωχίαν. δαίνυντο.] εὐωχοῦντο. ἐδεύετο.] ἐνδεὴς ἦν. δαιτός.] εὐωχίας. ἐΐσης.] ἴσης· πᾶσιν ὁμοίας· ἢ ἰσομοίρου καὶ μεριστῆς. πόσιος.] ποτοῦ. ἐδητύος.] εὐωχίας, βρώσεως. ἐξ ἔρον ἕντο.] ἐξέβαλον τὸν τῆς τροφῆς ἔρωτα· ὅ ἐστιν ἐκορέσθησαν. ἔρον δὲ τὸν ἔρωτα Αἰολικῶς λέγει.

Ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Αὐτὰρ ἐπεὶ παύσαντο πόνου, τετύκοντό τε δαῖτα
Δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Αὐτὰρ ἐπεὶ πόσιος, καὶ ἐδητύος ἐξ ἔρον ἕντο
Κοῦροι μὲν, κρητῆρας ἐπεστέψαντο ποτοῖο.
Νώμησαν δ' ἄρα πᾶσιν, ἐπαρξάμενοι δεπάεσσιν,
Οἱ δὲ, πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο,
Καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν.
Μέλποντες ἑκάεργον. ὁ δὲ, φρένα τέρπετ' ἀκούων.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Καὶ τότ' ἔπειτ' ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
Τοῖσιν δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων.
Οἱ δ' ἱστὸν στήσαντ' ἀνά θ' ἱστία λευκὰ πέτασσαν.
Ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον. ἀμφὶ δὲ κῦμα
Στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης.
Ἡ δ' ἔθεεν κατὰ κῦμα, διαπρήσσουσα κέλευθα.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,
Νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν.
Ὑψοῦ ἐπὶ ψαμάθοις. ὑπὸ δ' ἕρματα μακρὰ τάνυσσαν.
Αὐτοὶ δ' ἐσκίδναντο κατὰ κλισίας τε νέας τε.
Αὐτὰρ ὁ, μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι,
Διογενὴς Πηλέος υἱὸς πόδας ὠκὺς Ἀχιλλεύς.
Οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,
Οὔτε ποτ' ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
Αὖθι μένων.

κοῦροι.] οἱ νέοι. κρητῆρας.] τοὺς κρατῆρας. ἐπεστέψαντο.] ἄχρι τῆς στεφάνης ἐπλήρωσαν· ὅ ἐστι μέχρι τέλους. ποτοῖο.] ποτοῦ. νώμησαν.] διεμέρισαν, διένειμαν. ἐπαρξάμενοι.] ἤτοι τοῦ πίνειν ἀρχὴν ποιήσαντες, καὶ ἀπαρξάμενοι, καὶ σπείσαντες τοῖς θεοῖς. δεπάεσσι.] ποτηρίοις, ἐκπώμασι. πανημέριοι.] δι' ὅλης ἡμέρας. μολπῇ.] ὕμνῳ, ᾠδῇ. θεόν.] τὸν Ἀπόλλωνα. ἱλάσκοντο.] ἐξευμενίζοντο, ἐξιλεοῦντο. καλὸν ἀείδοντες.] ἤτοι καλὸν ᾄδοντες.

ἢ καλῶς τὸν παιᾶνα.] παιὰν δέ ἐστιν ὕμνος εἰς Ἀπόλλωνα ἐπὶ ἀφέσει λοιμοῦ ᾀδόμενος. παιήονα.] παιᾶνα, ᾠδῆς εἶδος. κοῦροι.] νέοι. μέλποντες.] ὑμνοῦντες. ἀπὸ δὲ τοῦ ἔπους τὸν ποιητὴν τὸ ὁ δὲ φρένα τέρπετ' ἀκούων, διδασκόμεθα ὅτι πλέον τῶν θυσιῶν τέρπονται οἱ θεοὶ τοῖς οἰκείοις ἕκαστος ὕμνοις. ἑκάεργον.] τὸν Ἀπόλλωνα, ἐπιθετικῶς. ἦμος.] ἡνίκα, ὅτε. ἠέλιος.] ὁ ἥλιος. καὶ ἐπὶ κνέφας ἦλθε.] καὶ τὸ σκότος ἐγένετο· ὅ ἐστι νύξ. δὴ τότε.] τότε δή. κοιμήσαντο.] ἐκοιμήθησαν. παρὰ πρυμνήσια.] παρὰ τὰ ἀπόγεια σχοινία. ἠριγένεια.] ἤτοι ἡ τὸν ὄρθρον γεννῶσα ἡμέρα, ἢ ἡ ὑπὸ τοῦ ὄρθρου γεννωμένη. φάνη.] ἐφάνη.

ῥοδοδάκτυλος.] ῥοδόχρους, διαυγής. πυρράκης γὰρ ὁ ἀὴρ ὄρθρου γίγνεται ἐν τῇ ἀνατολῇ· ἀπὸ δὲ τοῦ σχήματος τῶν τῆς χειρὸς δακτύλων, παρίστησι τὸ τῶν ἀκτίνων σχῆμα. ἠώς.] ἡμέρα. ἀνάγοντο.] ἀνήγοντο, ἐπέπλεον. μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν.] ἐπὶ τὸ πλῆθος τῶν Ἑλλήνων. ἴκμενον.] ἤτοι πορευτικόν, παρὰ τὸ ἱκνεῖσθαι· ἢ ὑγρόν, ἀπὸ τῆς ἰκμάδος· καὶ γὰρ ἐν ἄλλοις φησίν· ἀνέμων μένος ὑγρὸν ἀέντων. ἵει.] ἐφίει, ἐπέπεμπεν. ἱστόν.] τὸ κατάρτιον. ἱστία δὲ πληθυντικῶς τὰς ὀθόνας. στῆσαν.] ἔστησαν. ἀνά θ' ἱστία λευκὰ πέτασσαν.] ἀνελκύσαντες δὲ καὶ τὰς τῆς νεὼς ὀθόνας ἥπλωσαν. πρῆσεν.] ἐνέπρησεν, ἐφύσησε. μέσον ἱστίον.] μέσην τὴν ὀθόνην. ἀμφὶ δὲ κῦμα.] περὶ δὲ τὸ κῦμα. στείρῃ.] τῇ κρηπῖδι τῆς νεώς, ἐπεὶ στερεωτέρα τῶν σανίδων ὑπάρχει. ἐπὶ γὰρ τῷ ξύλῳ τούτῳ ὥσπερ ἐπὶ θεμελίῳ τινὶ ἐποικοδομεῖται τὰ ἄλλα ξύλα τῆς νεώς. πορφύρεον.] μέλαν. μεγάλ' ἴαχε.] μεγάλως ἤχει. νηὸς ἰούσης.] τῆς νεὼς πορευομένης· ὅ ἐστι πλεούσης. ἔθεεν.] ἔπλει, νῦν δὲ ἔτρεχε. κατὰ κῦμα.] κατὰ τὴν θάλασσαν. διαπρήσσουσα.] διαπερῶσα, διερχομένη. κέλευθον.] πλοῦν· ἄλλοτε δὲ τὴν διὰ τῆς γῆς ὁδόν. αὐτὰρ ἐπεί.] ἐπειδὴ δέ. ἵκοντο.] παρεγένοντο. εὐρύν.] πλατύν, μέγαν. οἱ.] οὗτοι.

ἐπ' ἠπείροιο.] ἐπὶ τῆς γῆς. ἔρυσσαν.] ἀνείλκυσαν. ὑψοῦ.] ἐφ' ὕψους. ψαμάθοις.] ἐπὶ τῆς ψάμμου. ὑπὸ δέ.] ὑποκάτω δέ. ἕρματα.] ἐρείσματα, στηρίγματα, δασύνεται. τὰ γὰρ βραχέα πρὸ τοῦ ρ ἐπαγομένου τοῦ μ, δασύνεται πλὴν τοῦ ἄρμενον. μακρά.] μεγάλα. τάνυσσαν.] κατὰ μῆκος ὑπέθηκαν. ἐσκίδναντο.] ἐσκεδάννυντο, ἐσκορπίζοντο. κλισίας.] σκηνάς. νέας.] τὰς ναῦς. αὐτὰρ ὁ.] οὗτος δέ. μήνιε.] ὠργίζετο. παρήμενος.] παρακαθήμενος. ὠκυπόροισι.] ταχείαις. διογενής.] εὐγενέστατος. πωλέσκετο.] ἀνεστρέφετο, παρεγίνετο. κυδιάνειραν.] ἔνδοξον ἄνδρας ἔχουσαν, ἢ ἐνδόξους τοὺς ἄνδρας ποιοῦσαν. φθινύθεσκε.] διέφθειρεν. αὖθι.] αὐτόθι, ἐπὶ τόπου. ποθέεσκεν.]

ποθέεσκεν.] ἐπεπόθει. ἐπεζήτει. ἀϋτήν.] βοήν, ἀπὸ δὲ τῶν παρακολουθούντων φησὶ τὴν μάχην. ἐκ τοῖο.] ἀπ' ἐκείνου τοῦ χρόνου. δυωδεκάτη.] δωδεκάτη. γένετο.] ἐγένετο. τὸ πάθος ἀφαίρεσις. ἴσαν.] ἐπορεύοντο. αἰὲν ἐόντες.] οἱ διὰ παντὸς ὄντες, ἀθάνατοι. ἅμα.] ὁμοῦ καὶ κατὰ τὸ αὐτό. ἦρχεν.] ἡγεῖτο. οὐ λήθετο.] οὐκ ἐπελάθετο.

ἐφετμέων.] ἐντολῶν. παιδὸς ἑοῦ.] τοῦ ἑαυτῆς υἱοῦ. ἀλλ' ἥγε.] ἀλλ' αὕτη. ἀνεδύσατο.] ἀνέδυ, ἀνῆλθεν. ἀπὸ τοῦ δύω ἐνεστῶτος. ἠερίη.] ἑωθινή, ὀρθρινή. εὗρεν.] κατέλαβεν. εὐρύοπα.] ἤτοι μεγαλόφθαλμον παρὰ τὰς ὦπας· ἢ μεγαλόφωνον παρὰ τὴν ὄπα, ὅ ἐστι τὴν φωνήν. Κρονίδην.] Κρόνου παῖδα. Δία.

ἄτερ.] χωρὶς τῶν ἄλλων. ἥμενον.] καθήμενον. ἀκροτάτῃ κορυφῇ.] ἤγουν ἐν ἀκρωρείας. ἤγουν ἐν ὀξύτητι. πολυδειράδος.] πολλὰς ἐξοχὰς ἔχοντος. πολυαυχένου. οὐλύμποιο.] ὀλύμπου. καί ῥα.] καὶ δή. πάροιθεν.] ἔμπροσθεν. αὐτοῖο.] αὐτοῦ. λάβεν.] ἐλάβετο, ἐκράτησε.

σκαιῇ.] ἀριστερᾷ. δεξιτερῇ.] δεξιᾷ. ἀνθερεῶνος.] τοῦ ὑπὸ τὸ γένειον τόπου, παρὰ τὴν ἐξάνθησιν τῶν τριχῶν. ἑλοῦσα.] λαβομένη, κατέχουσα. λισσομένη.] παρακαλοῦσα. εἴποτε δή σε.] ἐάν ποτέ σε. μετ' ἀθανάτοισιν.] ἐν τοῖς θεοῖς. ὄνησα.] ὠφέλησα. ἢ ἔπει.] ἢ λόγῳ. ὠκυμορώτατος.] ταχυθάνατος. ἔπλετο.] ἐγένετο. ἀτάρ μιν νῦν γε.] νῦν δὲ δὴ αὐτόν.

ἑλὼν γάρ.] λαβὼν γὰρ ἔχει παρ' ἑαυτῷ.

ἀπούρας.] ἀφελόμενος. τῖσον.] τιμῆς ἀξίωσον, δόξασον. μητίετα.] βουλευτικώτατε. τόφρα.] ἐπὶ τοσοῦτον. τίθει.] παρέχε. τὸ ἑξῆς, ἕως τούτου παρέχε τοῖς Τρωσὶ δύναμιν.

ὄφρ' ἂν Ἀχαιοί.] ἕως ἂν οἱ Ἕλληνες.

τίσωσι.] τιμήσωσιν. ὀφέλλωσιν.] αὐξήσωσιν. ἑ.] αὐτόν. οὔτι.] οὐδέν. νεφεληγερέτα.] νεφῶν ἀθροιστικός. ἀκέων.] ἡσυχάζων. δήν.] ἐπὶ πολὺν χρόνον. ἧστο.] ἐκαθέζετο.

ὡς.] οὕτως. ἔχετο.] ἐκράτει. τῷ παθητικῷ ἐχρήσατο ἀντὶ ἐνεργητικοῦ.

ἐμπεφυυῖα.] ἐμπλέξασα τὰς χεῖρας, ἰσχυρῶς κρατήσασα. εἴρετο.] ἠρώτα. δεύτερον αὖτις.] ἐκ δευτέρου πάλιν. νημερτές.] ἀληθές. ὑπόσχεο καὶ κατάνευσον.] δὶς τὸ αὐτὸ πέφρακεν ἐπιτάσεως χάριν. ἀντὶ τοῦ ὑπόσχου μοι. ἢ ἀπόειπε.] ἢ ἀπαρνῆσαι καὶ ἀπειπόν.

ἐπεὶ οὔτοι.] ἐπεὶ οὐδαμῶς σοι. ἔπι.] ἔνεστι. δέος.] φόβος. τουτέστιν ἐπειδὴ οὐ φοβῇ τῶν θεῶν τινά.

ὄφρ' εὖ εἰδῶ.] ὅπως καλῶς μάθω. ὅσσον ἐγώ.] ὁπόσον ἐγώ. μετὰ πᾶσιν.] ἀντὶ τοῦ ἐν ἅπασι τοῖς ἀνθρώποις. ἀτιμοτάτη.] ἄτιμος ὑπάρχω. μέγ' ὀχθήσας.] μέγα στενάξας, καὶ δεινοπαθήσας. νεφεληγερέτα.] νεφεληγερέτης, ὅ ἐστι νεφῶν ἀθροιστικός. ἦ δὴ λοίγια.] ὄντως δὴ ὀλέθρια. ἐχθοδοπῆσαι.] ἐχθρὸν καταστῆσαι. ἐφήσεις.] ἐποτρυνεῖς, ἐφορμήσεις, ὅ ἐστιν ἀναγκάσεις. ἐρέθῃσιν.] ἐρεθίζει, ἐρεθίζειν δὲ τὸ παροξύνειν.

ὀνειδείοις.] ὀνειδιστικοῖς, ὑβριστικοῖς. τὸ δὲ ὅλον ὁπότ' ἂν με ἡ Ἥρα ὑπομνήσασά σοι παρέχειν χάριν, παροξύνῃ χρωμένη λόγοις ἐρεθιστικοῖς. Ἥρῃ ὅταν μ' ἐρέθῃσι.] Ζεὺς ἐρασθεὶς Θέτιδος τῆς τοῦ Νηρέως, ἐδίωκεν αὐτὴν, βουλόμενος βιάσασθαι. γενόμενος δὲ ἤδη τὸ Καυκάσιον ὄρος, ἐκωλύθη ὑπὸ Προμηθέως, φήσαντος τὸν ἐκ Θέτιδος γενόμενον ἀμείνονα ἔσεσθαι τοῦ ἰδίου πατρός. δείσας οὖν ὁ Ζεὺς περὶ τῆς ἐν οὐρανῷ ἐπικρατείας, αὐτὸς μὲν ἀπέσχετο τῆς προειρημένης, ὡς τιμὴν δὲ τοῦ παιδὸς Αἰακοῦ, ἔδωκεν αὐτὴν πρὸς γάμον Πηλεῖ, ἐξ ἧς ἐγένετο ὁ Ἀχιλλεύς, ὃς οὐ μόνον ὑπερέβαλλε τῇ ἀνδρείᾳ τὸν ἑαυτοῦ πατέρα, ἀλλὰ καὶ τοὺς κατ' ἐκεῖνον γενομένους πάντας
ἥρωας

Αὖθι μένων ποθέεσκε δ' ἀϋτήν τε, πτόλεμόν τε.
Ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώς.
Καὶ τότε δὴ πρὸς ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
Πάντες ἅμα. Ζεὺς δ' ἦρχε. Θέτις δ' οὐ λήθετ' ἐφετμέων
Παιδὸς ἑοῦ, ἀλλ' ἥγ' ἀνεδύσατο κῦμα θαλάσσης.
Ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν, οὔλυμπόν τε.
Εὗρεν δ' εὐρύοπα Κρονίδην, ἄτερ ἥμενον ἄλλων,
Ἀκροτάτῃ κορυφῇ πολυδειράδος οὐλύμποιο.
Καί ῥα πάροιθ' αὐτοῖο καθέζετο, καὶ λάβε γούνων
Σκαιῇ. δεξιτερῇ δ' ἄρ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα,
Λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα.
Ζεῦ πάτερ, εἴποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα
Ἢ ἔπει, ἢ ἔργῳ, τόδε μοι κρήηνον ἐέλδωρ.
Τίμησόν μοι υἱὸν, ὃς ὠκυμορώτατος ἄλλων
Ἔπλετ'. ἀτάρ μιν νῦν γ' ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Ἠτίμησεν. ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
Ἀλλὰ σύ πέρ μιν τῖσον ὀλύμπιε μητίετα Ζεῦ.
Τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρ' ἂν Ἀχαιοὶ,
Υἱὸν ἐμὸν τίσωσιν, ὀφέλλωσίν τέ ἑ τιμῇ.
Ὣς φάτο. τὴν δ' οὔτι προσέφη νεφεληγερέτα Ζεύς.
Ἀλλ' ἀκέων δὴν ἧστο. Θέτις δ' ὡς ἥψατο γούνων,
Ὣς ἔχετ' ἐμπεφυυῖα, καὶ εἴρετο δεύτερον αὖθις.
Νημερτὲς μὲν δή μοι ὑπόσχεο, καὶ κατάνευσον,
Ἢ ἀπόειπ', ἐπεὶ οὔτοι ἔπι δέος, ὄφρ' ἐῢ εἰδῶ,
Ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι.
Τὴν δὲ μέγ' ὀχθήσας, προσέφη νεφεληγερέτα Ζεύς.
Ἦ δὴ λοίγια ἔργ', ὅτ' ἐμ' ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρῃ, ὅταν μ' ἐρέθῃσιν ὀνειδείοις ἐπέεσσιν.

Ἡ δὲ

ἔρωτας. νεικεῖ.] κακολογεῖ, λοιδορεῖ. καί τέ με φησί.] καὶ ἐμὲ λέγει. αὔτως.] εἰκαίως, ματαίως. αἰεί.] διαπαντός. ἀρήγειν.] βοηθεῖν. ἀπόστιχε.] ἀπαλλάσσου, ἀναχώρει. μή σε νοήσῃ.] μή σε θεάσηται. μελήσεται.] δι' ἐπιμελείας γενήσεται. τελέσω.] τελειώσω, πληρώσω. εἰ δ' ἄγε τοι.] ἰδοὺ δή σοι. κατανεύσομαι.] ἐπινεύσω. ὄφρα πεποίθῃς.] ὅπως ἀκριβῶς πιστεύσῃς μοι. ἐξ ἐμέθεν.] ἐξ ἐμοῦ. τέκμωρ.] τέλος, τεκμήριον. παλινάγρετον.] παλισύλληπτον. ὡς τοπίσω ληπτόν. ἐξ οὗ, ψευδές, ἢ μεταμελητόν. οὐδ' ἀπατηλόν.] οὐδ' ἀπατηλὸν καὶ ψευδές. οὐδ' ἀτελεύτητον.] οὐδ' ἀτέλεστον, ἀπλήρωτον. ὅ, τι κεν.] ὅπερ ἄν.

Ἠ δὲ, καὶ αὔτως μ' αἰεὶ ἐν ἀθανάτοισι θεοῖσι
Νεικεῖ, καί τέ με φησὶ μάχῃ Τρώεσσιν ἀρήγειν.
Ἀλλὰ σὺ μὲν νῦν αὖθις ἀπόστιχε, μή σε νοήσῃ †
Ἥρη. ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσω.
Εἰ δ' ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς.
Τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
Τέκμωρ, οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν,
Οὐδ' ἀτελεύτητον γ' ὅ, τι κεν κεφαλῇ κατανεύσω.
Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος,
Κρατὸς ἀπ' ἀθανάτοιο. μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.
Τώ γ' ὣς βουλεύσαντε, διέτμαγον. ἡ μὲν ἔπειτα
Εἰς ἅλα ἆλτο βαθεῖαν ἀπ' αἰγλήεντος Ὀλύμπου.
Ζεὺς δὲ ἑὸν πρὸς δῶμα. θεοὶ δ' ἅμα πάντες ἀνέσταν
Ἐξ ἑδέων, σφοῦ πατρὸς ἐναντίον. οὐδέ τις ἔτλη
Μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες.
Ὣς ὁ μὲν, ἔνθα καθέζετ' ἐπὶ θρόνου, οὐδέ μιν Ἥρη
Ἠγνοίησεν ἰδοῦσ' ὅτι οἱ συμφράσσατο βουλὰς
Ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος.
Αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδα.
Τίς δ' αὖ τοι δολομῆτα θεῶν συμφράσσατο βουλάς;
Αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἀπὸ νόσφιν ἐόντα,
Κρυπτάδια φρονέοντα δικαζέμεν. οὐδέ τι πώ μοι
Πρόφρων τέτληκας εἰπεῖν ἔπος ὅ, τι νοήσεις.
Τὴν δ' ἠμείβετ' ἔπειτα πατὴρ ἀνδρῶν τε, θεῶν τε.
Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
Εἰδήσειν. χαλεποί τοι ἔσοντ' ἀλόχῳ περ ἐούσῃ. +
Ἀλλ' ὃν μέν κ' ἐπιεικὲς ἀκουέμεν, οὔ τις ἔπειτα
Οὔτε θεῶν πρότερος τόν γ' εἴσεται, οὔτ' ἀνθρώπων.
Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοιμι νοῆσαι,
Μή τι σὺ ταῦτα ἕκαστα διείρεο, μηδὲ μετάλλα.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη.
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Καὶ λίην σε πάρος γ' οὔτ' εἴρομαι, οὔτε μεταλλῶ.
Ἀλλὰ

Ἦ.] ἔφη, εἶπε. δηλοῖ δὲ καὶ τὸ ὄντως ὡς τὸ, ἦ μυρί' Ἀχαιοῖς. καὶ τὸ ἀληθῶς. ὡς ἦ δὴ λοίγια ἔργα. τὸ γὰρ ὄντως ἀντὶ τοῦ ἀληθῶς λαμβάνεται. κυανέῃσι.] κυανιαῖς, μελαίναις. ἐπ' ὀφρύσι.] ταῖς ὀφρύσιν. νεῦσεν.] ἐπένευσεν. ἀμβρόσιαι.] θεῖαι. χαῖται.] τρίχες. ἐπερρώσαντο.] ἐπισείσθησαν. κρατὸς ἀπ' ἀθανάτοιο.] ἀπὸ τῆς ἀθανάτου κεφαλῆς. ἐλέλιξεν.] ἐκίνησεν, ἔσεισε. τώ γ' ὥς.] οὗτοι μὲν δὴ οὕτως. βουλεύσαντε.] βουλευσάμενοι. διέτμαγον.] διεχωρίσθησαν. εἰς ἅλα ἆλτο.] εἰς τὴν θάλασσαν καθήλατο. ἅτε δὴ ὅσα ἐνάλιος δαίμων. αἰγλήεντος.] λαμπροῦ. παρὰ τὴν αἴγλην. ἑόν.] πρὸς τὸ ἴδιον. δῶμα.] οἴκημα. ἐξ ἑδέων.] ἐκ τῶν καθεδρῶν. σφοῦ.] ἰδίου. ἐναντίον.] ἐξεναντίας. ἔτλη.] ὑπέμεινεν. ἐπερχόμενον.] ἐρχόμενον, ἥκοντα. ἀντίοι.] ἐξεναντίας. ὣς ὁ μέν.] οὕτως μὲν δὴ οὗτος. θρόνου.] καθέδρας. ἠγνοίησεν.] ἠγνόησεν. ὅτι οἱ.] ὅτι αὐτῷ. συμφράσσατο.] συνεβουλεύσατο. ἀργυρόπεζα.] λαμπρόπους, ἀπὸ μέρους ὅλη καλή. πέζα γὰρ ὁ πούς. ἁλίοιο γέροντος.] τοῦ θαλασσίου Νηρέως. αὐτίκα.] παραχρῆμα εὐθέως. κερτομίοισιν.] ὀνειδιστικοῖς. χλευαστικοῖς. νῦν δὲ, τοῖς τὸ κέαρ, ὅ ἐστι τὴν ψυχὴν τέμνουσι καὶ λυποῦσι λόγοις.

τίς δ' αὖ τοι.] τίς δή σοι. δολομῆτα.] δόλια βουλευόμενε. αἰεί τοι φίλον.] διαπαντός σοι προσφιλές. ἐμεῦ.] ἐμοῦ. νόσφι.] χωρίς. ἐόντα.] ὄντα, ὑπάρχοντα. κρυπτάδια.] κρυφαῖα, λαθραῖα. φρονέοντα.] διανοούμενον, φρονοῦντα. δικαζέμεν.] δικάζειν.

οὐδέ τι πώ μοι.] οὐδέποτε ἐμοί. πρόφρων.] προθύμως. τέτληκας.] ὑπομεμένηκας, κεκαρτέρηκας. ὅτι νοήσεις.] ὅπερ ἂν ἐνθυμηθῇς. πατὴρ ἀνδρῶν τε θεῶν τε.] ὁ Ζεύς. ἐπιέλπεο.] ἔλπιζε. μύθους.] λόγους. εἰδήσειν.] μαθήσεσθαι, γνῶναι. χαλεποί τοι ἔσοντ'.] βλαβεροί σοι γενήσονται. ἀλόχῳ.] γυναικί. ἐούσῃ.] ὑπαρχούσῃ. ἀλλ' ὅντινα μὲν λόγον προσήκει σε ἀκοῦσαι παρ' ἐμοῦ, οὐδεὶς πρὸ σοῦ μάθῃ οὔτε θεῶν οὔτε ἀνθρώπων. ἐπιεικές.] πρέπον. εἴσεται.] γνώσεται, μάθῃ. ὃν δ' ἂν ἐγών.] ὅντινα δ' ἂν ἐγώ. ἀπάνευθεν.] ἄποθεν, χωρίς, ἰδίως. ἐθέλοιμι.] ἐθέλω. νοῆσαι.] ἐνθυμηθῶναι. μή τι σύ.] μηδαμῶς σὺ ταῦτα. διείρεο.] ἀνερώτα. μετάλλα.] πολυπραγμόνει. βοῶπις.] εὐόφθαλμος, καλή. πότνια.] σεβασμία, ἔντιμος. αἰνότατε.] δεινότατε, ἐπίφοβε. μῦθον.] λόγον. ἔειπες.] ἔφησας, ἔλεξας. καὶ λίην σε.] καὶ πάνυ σε. πάρος.] ἐν τῷ ἔμπροσθεν χρόνῳ. οὔτ' εἴρομαι.] οὔτε ἀνηρώτησα. μεταλλῶ.] ἐπιζητῶ, σύνηλος.]

εὔκηλος.] ἥσυχος. ἀπὸ τοῦ εὖ. πρὸ ἀφώνου ψιλοῦται. πλὴν τοῦ εὔαδε. φράζεαι.] διανοῇ, βουλεύῃ. ἅσσα.] ἅτινα. ἐθέλησθα.] ἐθέλεις. αἰνῶς.] δεινῶς, χαλεπῶς. δείδοικα.] δέδοικα, εὐλαβοῦμαι. ἠερίη.] ὀρθρινή. τῇ σ' ὀΐω.] ταύτῃ σε ὑπονοῶ. κατανεῦσαι.] ὑποσχέσθαι. ἀντὶ τοῦ κατανενευκέναι καὶ ὑποσχέσθαι. ἐτήτυμον.] ἀληθές. ὀλέσῃς.] ἀπολέσῃς. πολέας.] πολλούς. δαιμονίη.] νῦν, κακὴ κεφαλή. ὅτι ἦ, εὐδαίμων, μακαρία. αἰεὶ μὲν ὀΐεαι.] διαπαντὸς μέν με ὑπονοεῖς ἅπαντα ὀργῇ πράσσουσα καὶ οὐ λογιζομένη. λήθω.] λανθάνω. πρῆξαι.] πρᾶξαι ἢ οὐδὲν δύνασαι. ἔμπης.] ὅμως οὔτι δυνήσεαι.] οὐδὲν δυνηθήσῃ. ἀλλ' ἀπὸ θυμοῦ μᾶλλον ἐμοὶ ἔσεαι.] ἀλλ' ἀποθύμιός μοι πλέον καὶ ἐχθρὰ γενήσῃ. ῥίγιον.] φρικτὸν, φοβερόν. εἰ δ' οὕτω τοῦτ' ἐστί.] καὶ τὰ ἑξῆς. εἰ δὲ τοῦθ' οὕτως ἔχον ἐστίν. εἰκὸς κἀμοὶ προσφιλὲς εἶναι. λέγει δὲ προϋποσχῆσθαι Θέτιδι τὴν Ἀχιλλέως τιμήν. μέλλει.] ἔοικεν. ἀκέουσα.] ἡσυχάζουσα, σιωπῶσα. κάθησο.] καθέζου. ἐπιπείθεο.] πείθου. οὐ χραίσμωσιν.] οὐκ ἐπιβοηθήσωσιν. εἰσ' ἐν Ὀλύμπῳ.] ὑπάρχουσι. τὸ πλῆρες εἰσίν. ἆσσον ἰόντι.] ἐγγὺς παραγενόμενοι. ὅτε κέν τοι.] ὅτε ἄν σοι. ἀάπτους.] ἀπροσίτους, ἀπροσπελάστους, διὰ μέγεθος. ἀπτοήτους. πρὸς δὲ καὶ ἀέπτους. ἵν' ἦν ἀῤῥήτους. ἢ οὓς οὐ δύναταί τις ἕπεσθαι. ἐφείω.] ἐπιβάλω, ἐπενέγκω. καί ῥα.] καὶ δή. καθῆστο.] ἐκαθέζετο. βοῶπις.] εὐόφθαλμος, καλή. ἐπιγνάμψασα φίλον κῆρ.] ἐπικάμψασα τὴν αὐτῆς ψυχήν. ὅ ἐστι πραΰνασα. ὤχθησαν.] ἀντέναξαν. ἐδεινοπάθησαν διὰ τὴν Ἥραν. ἀνὰ δῶμα.] κατὰ τὴν οἰκίαν. τὸ ω μέγα διὰ τὸ μέτρον. οὐρανίωνες.] οἱ ἐν οὐρανῷ κατοικοῦντες. τοῖσι δ' Ἥφαιστος.] ἐν τούτοις δὲ ὁ Ἥφαιστος. κλυτοτέχνης.] ὁ περὶ τὴν χαλκευτικὴν ἔνδοξος. ἦρχ' ἀγορεύειν.] ἤρξατο λέγειν. ἐπίηρα.] τὴν μετ' ἐπικουρίας χάριν. λευκωλένῳ.] λευκοβραχίονι, εὐπρεπεστάτῃ. ἦ δή.] ἀληθῶς δή, ὄντως δή. λοίγια.] ὀλέθρια. οὐδ' ἔτ' ἀνεκτά.] οὐδὲ ἔτι ἀνασχετὰ καὶ ὑπομονῆς ἄξια. ἔσσεται.] γενήσεται. εἰ δὴ σφώ.] ἐὰν δὴ ὑμεῖς οἱ θεοί. ἕνεκα θνητῶν.] χάριν τῶν φθαρτῶν ἀνθρώπων. ἐριδαίνετον.] ἐρίζετε, φιλονικεῖτε. τοῖς θεοῖς θόρυβον ἐμποιεῖτε. ὧδε.] οὕτως. κολῳόν.] θόρυβον. ἡ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ. ὅ ἐστι θορυβῶδες καὶ κραυγαστικὸν ὄρνεον. κολῳὸς παρὰ τὸ κολοιός. ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ τὸ κλάζω κατὰ παραγωγήν. οὐδὲ προσγράφει τὸ ι. ἐλαύνετον.] διεγείρετε, ἐλαύνετε. δαιτός.] εὐωχίας. ἐσθλῆς.] ἀγαθῆς. ἦδος.] ἡδονή, ὠφέλεια. ἐπεὶ τὰ χερείονα νικᾷ.] ἐπειδὴ ὅλα τὰ χείρονα τῶν καλῶν πραγμάτων ἐπικρατέστερά ἐστι. παράφημι.] παραινῶ, συμβουλεύω. νοεούσῃ.] ἐπισταμένῃ, φρονούσῃ. ὄφρα μὴ αὖτε.] ὅπως μὴ πάλιν. νεικέῃσι.] κακολογῇ, ὀνειδίζῃ. σὺν δ' ἡμῖν δαῖτα ταράξῃ.] συνταράξῃ ἡμῶν τὴν εὐωχίαν. εἴπερ γάρ κ' ἐθέλῃσιν.] ἐὰν γὰρ ὅλως βουληθῇ. ἀστεροπητής.] ἀστραπτικός, ἀστραπὰς ποιῶν. ἐξ ἑδέων.] ἐκ τῶν καθεδρῶν. στυφελίξαι.] ἀποκινῆσαι, ἀνατρέψαι. πολὺ φέρτατος.] κατὰ πολὺ κρείττων, ἰσχυρότατος. καθάπτεσθαι.] καταπραΰνειν, ἐπέχειν. μαλακοῖσιν.] μαλακτικοῖς, πρᾳέσι. αὐτίκα.] παραχρῆμα, εὐθέως. ἵλαος.] ἵλεως, εὐμενής. ἀναΐξας.] ἀνορμήσας, ἀναστάς. δέπας.] ἔκπωμα, ποτήριον. ἀμφικύπελλον.] ἀμφοτέρωθεν κοῖλον καὶ περιφερές. ἢ κύπελλον ἔνθα

Ἀλλὰ μάλ' εὔκηλος, τὰ φράζεαι, ἅσσ' ἐθέλῃσθα.
Νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα μή σε παρείπῃ
Ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος.
Ἠερίη γάρ σοί γε παρέζετο, καὶ λάβε γούνων.
Τῇ σ' ὀΐω κατανεῦσαι ἐτήτυμον, ὡς Ἀχιλῆα
Τιμήσῃς, ὀλέσῃς δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν.
Τὴν δ' ἀπαμειβόμενος, προσέφη νεφεληγερέτα Ζεύς.
Δαιμονίη, αἰεὶ μὲν ὀΐεαι, οὐδέ σε λήθω.
Πρῆξαι δ' ἔμπης οὔτι δυνήσεαι, ἀλλ' ἀπὸ θυμοῦ +
Μᾶλλον ἐμοὶ ἔσεαι. τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
Εἰ δ' οὕτω τοῦτ' ἐστὶν, ἐμοὶ μέλλει φίλον εἶναι.
Ἀλλ' ἀκέουσα κάθησο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ
Μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ
Ἆσσον ἰόνθ', ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.
Ὣς ἔφατ'. ἔδδεισεν δὲ βοῶπις πότνια Ἥρη.
Καί ῥ' ἀκέουσα καθῆστο, ἐπιγνάμψασα φίλον κῆρ.
Ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ οὐρανίωνες.
Τοῖσιν δ' Ἥφαιστος κλυτοτέχνης ἦρχ' ἀγορεύειν,
Μητρὶ φίλῃ ἐπίηρα φέρων λευκωλένῳ Ἥρῃ.
Ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, οὐδ' ἔτ' ἀνεκτὰ,
Εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
Ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον, οὐδ' ἔτι δαιτὸς +
Ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
Μητρὶ δ' ἐγὼ παράφημι καὶ αὐτῇ περ νοεούσῃ.
Πατρὶ φίλῳ ἐπίηρα φέρειν Διῒ, ὄφρα μὴ αὖτε
Νεικέῃσι πατὴρ, σὺν δ' ἡμῖν δαῖτα ταράξῃ.
Εἴπερ γάρ κ' ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς
Ἐξ ἑδέων στυφελίξαι, ὁ γὰρ πολὺ φέρτατός ἐστιν.
Ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσιν.
Αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν.
Ὣς ἄρ' ἔφη. καὶ ἀναΐξας, δέπας ἀμφικύπελλον

Μητρὶ

ἔνθα ὁ πηλὸς χεῖται. τίθει.] ἐδίδου. καί μιν.] καὶ αὐτήν. τέτλαθι.] καρτέρησον, ὑπόμεινον. ἀνάσχεο.] ἀνάσχου, ὑπόμεινον. κηδομένη περ.] καίπερ λυπουμένη. ἐοῦσαν.] οὖσαν. ἴδωμαι.] θεάσομαι. θεινομένην.] πληττομένην, τυπτομένην. τότε δ' οὔτι.] τότε δὲ οὐδέν. ἀχνύμενός περ.] καίπερ λυπούμενος. χραισμεῖν.] βοηθεῖν. ἀργαλέος γάρ.] χαλεπὸς γάρ ἐστιν ὁ Ζεὺς τῷ βουλομένῳ αὐτῷ ἀντιφέρεσθαι. ὅ ἐστιν ἐναντιοῦσθαι καὶ φιλονεικεῖν. ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα.] εἰς ἀπόδειξιν τῆς ἰσχύος τοῦ Διὸς λέγει. Ἡρακλῆς ἀνακομιζόμενος μετὰ τὴν γενομένην ὑπ' αὐτοῦ πόρθησιν τῆς Ἰλίου ἐπὶ τῇ τοῦ Λαομέδοντος ἀπάτῃ, παρ' ὅσον αὐτῷ ἀντὶ τῶν ἀθανάτων ἵππων, οὓς ὑπέσχετο, αὐτὲ δῶκε θνητοὺς ἀπατήσας, κατ' ἐκεῖνο καιροῦ προσέσχε τῇ Κῷ τῆς Μεροπίδος χειμῶνι κατεχόμενος, κατὰ χόλον Ἥρας μισούσης τὸν ἥρωα, καὶ διὰ τοῦτο πρότερον κατακοιμησάσης τὸν Δία. οἱ δὲ ἀπὸ τῆς Κῶ θεασάμενοι αὐτὸν καὶ ὡς ἄγριον θῆρα φοβηθέντες, ἐξήλασαν ἀπὸ τῆς πόλεως. ἐφ' ᾧ ἀγανακτήσας ὁ Ἡρακλῆς, ἐξεπόρθησε τὴν Κῶ. ἀθλεῖ δὲ τῇ τῆς Ἥρας κατακοιμήσει ὁ Ζεὺς ὀργισθεὶς, ἐν δεσμοῖς κατέσχε τὴν Ἥραν. ἣν ἐπειρᾶτο τηνικαῦτα ὁ Ἥφαιστος λύειν, καὶ φωραθεὶς ἀπὸ τοῦ Ὀλύμπου ἐξερρίφη καὶ εἰς Λῆμνον τὴν τῆς Θρᾴκης νῆσον καταπεσὼν, χωλὸς ἐγένετο, ὥς φησιν ὁ Ποιητής. διὸ ἱερὰ τοῦ θεοῦ ἡ Λῆμνος. ἄλλοτε.] καὶ ἐν ἄλλῳ χρόνῳ. ἀλεξέμεναι.] ἐπιβοηθεῖν. μεμαῶτα.] προθυμούμενον. ῥῖψεν.] ἔρριψε. τεταγών.] ἐκτείνας. ἀπὸ βηλοῦ.] ἀπὸ τοῦ οὐρανοῦ. ἀπὸ γὰρ τοῦ οὐρανοῦ ἐρρίφη. γίνεται δὲ ἀπὸ τοῦ βεβηκέναι τοὺς θεοὺς ἐπ' αὐτῷ, καὶ τοὺς ἀστέρας ἤθη βαίνειν εἴρηται. τῷ δὲ τόνῳ καθάπερ οἱ Ἀρισταρχεῖοι, βηλὸν ὡς χωλὸν καὶ πηλὸν ἀποδιδόντες τὸν τῶν θεῶν βαθμόν. ἕτεροι δὲ βηλὸν εἶπον τὸν ἀνωτάτω πάγον, καὶ περιέχοντα τὸν πάντα ἀέρα. ἄλλοι τὴν περίοδον τοῦ αἰθέρος καὶ τῶν ἄστρων. κοινῶς δὲ σημαίνει ὁ βηλὸς τὸν οὐδὸν τῆς θύρας, ὃν καλοῦσι φλιάν. ὁ δὲ Ποιητὴς ὑποτίθεται τὸν οὐρανὸν πύλας ἔχοντα. εἴρηται δὲ βηλὸς ἀπὸ τοῦ βαίνεσθαι, ὡς καὶ οὐδὸς ἀπὸ τοῦ διοδεύεσθαι.

Μητρὶ φίλῃ ἐν χερσὶ τίθει, καί μιν προσέειπε.
Τέτλαθι μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ,
Μή σε φίλην περ ἐοῦσαν, ἐν ὀφθαλμοῖσιν ἴδωμαι +
Θεινομένην, τότε δ' οὔτι δυνήσομαι ἀχνύμενός περ,
Χραισμεῖν. ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι.
Ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα,
Ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο.
Πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι,
Κάππεσον ἐν Λήμνῳ. ὀλίγος δέ τι θυμὸς ἐνῆεν.
Ἔνθα με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα.
Ὡς φάτο. μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη.
Μειδήσασα δὲ, παιδὸς ἐδέξατο χειρὶ κύπελλον.
Αὐτὰρ ὃ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
Οἰνοχόει, γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων.
Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν,
Ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
Ὡς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Δαίνυντ', οὐδ' ἔτι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Οὐ μὲν φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων,
Μουσάων θ', αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο
Οἱ μὲν, κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος.

Ἧχι ἑκάστῳ,

θεσπεσίοιο.] θείου, θαυμαστοῦ. πᾶν δ' ἦμαρ.] δι' ὅλης δὲ τῆς ἡμέρας. φερόμην.] δι' ὅλης ἡμέρας ἐφερόμην. ἤτοι διὰ τοῦ οὐρανοῦ, ἢ διὰ τοῦ ἀέρος. ἅμα δ' ἠελίῳ καταδύντι.] ἅμα δὲ τῷ δῦναι τὸν ἥλιον. κάππεσον.] κατηνέχθην, κατέπεσον ἐν τῇ Λήμνῳ. ἡ δὲ Λῆμνος νῆσός ἐστι Θρᾴκης ἱερὰ Ἡφαίστου. ἔχουσα δύο πόλεις, Ἡφαιστιάδα καὶ Μύριναν. ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν.] ἐνῆν, ἀντὶ τοῦ ἐλειποψύχουν. βραχείας μοι τῆς ψυχῆς γινομένης. ἔνθα με.] τότε με. Σίντιες.] οἱ Λήμνιοι, ἀπὸ τοῦ σίνεσθαι καὶ βλάπτειν, ὄντες πειραταί. ἢ ὅτι δοκοῦσιν αὐτοὶ πρῶτοι ἐπινενοηκέναι τὰ πρὸς πόλεμον ὅπλα, ταῦτα γὰρ ὁμολογουμένως βλάπτει. ἄφαρ.] εὐθέως, ταχέως. κομίσαντο.] ἐπιμελείας ἠξίωσαν, καὶ ἀνείλοντο. μείδησεν.] ἐμειδίασεν, ἐγέλασε. κύπελλον.] ἔκπωμα, ποτήριον, παρὰ κοιλότητα. ἐνδέξια.] ἀντὶ τοῦ ἀπὸ τῶν δεξιῶν μερῶν ἀρξάμενος. ᾠνοχόει.] ἀντὶ τοῦ ἐνέχει. τὸ νέκταρ ἐκίρνα. νέκταρ δέ ἐστι τὸ τῶν θεῶν πόμα. ἀπὸ κρητῆρος.] ἀπὸ τοῦ κρατῆρος. ἀφύσσων.] ἀρυόμενος, ἀπαντλῶν. ἄσβεστος.] ἀκατάπαυστος, πολύς. ἡ μεταφορὰ ἀπὸ τοῦ πυρός. ἐνῶρτο.] διηγείρετο. μακάρεσσι.] τοῖς μακαρισμοῦ ἀξίοις, ἀθανάτοις. διὰ δώματα.] διὰ τῶν οἴκων.

ποιπνύοντα.] ἐνεργοῦντα, διακονοῦντα. πρόπαν ἦμαρ.] δι' ὅλης τῆς ἡμέρας. δαίνυντο.] εὐωχοῦντο. ἐς ἠέλιον καταδύντα.] ἕως ἡλίου δυσμῶν. φόρμιγγος.] κιθάρας. περικαλλέος.] πάνυ καλῆς, ἐνδόξου. ἔχεν.] εἶχε. τέσσαρες γὰρ τέχναι ἀνατίθενται τῷ Ἀπόλλωνι, μουσική, τοξική, ἰατρική, μαντική. Μουσάων θ'.] Μουσῶν τε. ὁ δὲ λόγος, ὥσπερ τῆς εὐωχίας ἐνδεεῖς οὐκ ἦσαν οἱ θεοί. οὔτε τῆς τοῦ Ἀπόλλωνος μουσικῆς. ὁμοίως οὔτε τῆς τῶν Μουσῶν ᾠδῆς. αἵ τινες καὶ αὗται Ἀπόλλωνος κιθαρίζοντος ἐκ διαδοχῆς παραμέρος ᾖδον. ἄειδον.] αἵτινες ᾖδον. ἀμειβόμεναι.] ἐξαμοιβῆς καὶ διαδοχῆς ᾄδουσαι. ὀπί.] φωνῇ. φάος ἠελίοιο.] περιφραστικῶς τὸ τοῦ ἡλίου φῶς. κακκείοντες.] κατακοιμηθησόμενοι. ἔβαν.] ἐπορεύθησαν. πρῶτος δὲ Ὅμηρος ἀφορμὴν ἔδωκε τοῖς ἀπὸ τῶν μαθημάτων ὁρικόσιν

ἕκαστον θεὸν ἴδιον οἶκον ἔχειν. ἧχι.] ἔνθα ὅπου. περικλυτός.] ὁ πάνυ ἔνδοξος. ἀμφιγυήεις.] ὁ ἀμφοτέροις τοῖς γυίοις, ὅ ἐστι τοῖς ποσὶ χωλός. κλίνεται δὲ ὁ ἀμφιγυήεις τοῦ ἀμφιγυήεντος. ὅτι τὰ εἰς εις λήγοντα ἀρσενικὰ διὰ τοῦ εντος κλίνονται. οἷον τολμήεις τολμήεντος, τελήεις τελήεντος, χαρίεις χαρίεντος, οὕτως οὖν καὶ ἀμφιγυήεις ἀμφιγυήεντος.

Ἧχι ἑκάστῳ, δῶμα περικλυτὸς ἀμφιγυήεις.
Ἥφαιστος ποίησ' εἰδυίῃσι πραπίδεσσι.
Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ' Ὀλύμπιος ἀστεροπητής,
Ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι.
Ἔνθα καθεῦδ' ἀναβάς. παρὰ δέ, χρυσόθρονος Ἥρη.

ἰδυίῃσιν.] ἐπιστήμοσιν, ἐμπείροις. πραπίδεσσι.] φρεσί, διανοίαις. πρὸς ὃν λέχος.] ὁ δὲ Ζεὺς φησὶν εἰς τὴν ἰδίαν κοίτην παρεγένετο. Κρόνου καὶ Ῥέας ἐγένοντο υἱοὶ ἄρρενες γ. Ζεύς. Ποσειδῶν. καὶ Ἅδης. θυγατέρες τρεῖς. Ἑστία, Δημήτηρ, καὶ Ἥρα. λάθρα. τούτων φασὶν ἐπὶ τῆς Κρόνου δυναστείας ἐράσθησαν. τὸν δὲ Δία καὶ Ἥραν ἐπ' ἐνιαυτοὺς τριακοσίους ὥς φησι Καλλίμαχος ἐν β. αἰτιῶν. ὥς τε Ζεὺς ἐράτιζε τριηκοσίους ἐνιαυτούς. λάθρα δὲ τῶν γονέων ἀλλήλοις συνερχόμενοι, ἔσχον υἱὸν Ἥφαιστον. οὐχ ὁλόκληρον, ἑκατέρους δὲ τοὺς πόδας χωλόν. ὥς φησιν αὐτὸν καὶ ἀμφιγυήεντα ὁ Ποιητής. ὅτι δὲ λάθρα τῶν γονέων συνήρχοντο ἀλλήλοις μαρτυρεῖ καὶ ὁ Ποιητὴς λέγων. εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας. μετὰ δὲ τὴν τῶν Τιτάνων ὑπὸ Διὸς καθαίρεσιν καταταρταρωθέντος Κρόνου Ζεὺς καὶ Ἥρα διαδεξάμενοι τὴν ἐν οὐρανῷ βασιλείαν, μέχρι τοῦ νῦν θεῶν τε καὶ ἀνθρώπων βασιλεύουσιν, ἀλλήλοις ἡρμοσμένοι. διὸ Ἥρας τελείας καὶ συζύγου προσαγορευομένης, παρ' ὅσον ἀδελφὴ μόνη αὐτοῦ ἔτυχεν τοιούτου. ἔσχε δὲ Ἥβην θυγατέρα τὴν οἰνοχόον θεῶν παρίστησιν ὁ Ποιητής. ἔνθα πάρος.] ὅπου καὶ πρότερον. κοιμᾶθ'.] ἐκοιμᾶτο. ὅτε μιν.] ὅτε αὐτόν. γλυκύς.] ἡδύς. ἱκάνοι.] καταλάβοι. ἔνθα.] ἐνταῦθα, τοπικὸν ἐπίρρημα. καθεῦδεν.] ἐκοιμᾶτο. προπερισπαστέον δὲ ὥστε μὴ προστακτικὸν εἶναι ἐνεργητικόν. ἀναβάς.] ἀνελθών. παρὰ δέ.] παρ' αὐτὸν δέ. χρυσόθρονος.] χρυσοῦν θρόνον ἔχουσα, βασιλίς. μᾶλλον δὲ ἐπειδὴ τὰ πρὸς τῷ αἰθέρι μέρη τοῦ ἀέρος γειτνιῶντα τῷ ἡλίῳ πυρώδη ἐστίν. ὁ γὰρ Ποιητὴς ἀλληγορῶν τὸν χρυσὸν λαμβάνει ἀντὶ πυρός. Ἥρη.] Ἥρα. ἰστέον ὅτι ἡ ῥαψῳδία αὕτη μόνη παραβολὴν οὐκ ἔχει.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Β ΤΟΥ

## ὉΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ζεὺς ὄνειρον ἐπιπέμψας Ἀγαμέμνονι, παρακελεύεται τοὺς Ἕλληνας ἐξάγειν αὐτοῦ ἐπὶ τὸν πόλεμον. ὁ δέ, πρῶτον μὲν τῶν ἀρίστων συνέδριον συνήγαγεν. ἔπειτα δὲ ἐκκλησίαν ποιησάμενος, ἀποπειρᾶται αὐτῶν, παρακελευσάμενος φεύγειν ἐς τὰς πατρίδας. κατέχει δὲ αὐτοὺς Ὀδυσσεὺς Ἀθηνᾶς προνοίᾳ καὶ Νέστωρ δημηγορήσας. εἶτα τροφὴν ἀνελόμενοι, ἐξοπλίζονται αὐτοί τε, καὶ ἡγεμόνες. ὁμοίως δὲ καὶ οἱ Τρῶες Ἴριδος αὐτοῖς ἀπαγγειλάσης. κατάλογον δὲ ὁ Ποιητὴς ἐποίησε τῶν στρατευμάτων, καὶ τῶν νεῶν.

### ΑΛΛΟΣ.

Ζεὺς ἐμέμνητο Θέτιδος τῆς ἱκεσίας, τῶν ἄλλων θεῶν τε, καὶ ἀνθρώπων ὕπνῳ σχολαζόντων, πρὸ ὀφθαλμῶν ποιούμενος τὸν τοῦ Πηλέως, ὄνειρον Ἀγαμέμνονι πέμπει, κελεύων αὐτὸν ἐκβάλλειν πάντας τοὺς Ἕλληνας ἐς τὴν μάχην. καὶ συμβουλεύων αὐτῷ δηλαδὴ καὶ τὸν Ἀχιλλέα παρακαλέσαι. ὁ δέ, οὐ συνιεὶς τὸ ὄναρ, τοῖς ἀριστεύουσιν αὐτοῦ διηγεῖται, καὶ μετὰ τοῦτο εἰς ἐκκλησίαν ἀθροίσας πάντας Ἕλληνας. ὑπόπτως πρὸς αὐτοὺς διακείμενος, διὰ τὸ ἡγεῖσθαι τὸν Ἀχιλλέα ἐπιτιθέμενον αὐτῷ τῇ ἀρχῇ, προσοικειοῦσθαι τὸ πᾶν πλῆθος πειράζων, φεύγειν αὐτοὺς εἰς τὰς πατρίδας κελεύει. οἱ δέ, οὐ συνιέντες, ἐπὶ τὸ καθέλκειν τὰς ναῦς, καὶ ἐς τὰς πατρίδας ἀπαλλάττεσθαι χωροῦσιν. Ὀδυσσεὺς δὲ ὑποθεμένης αὐτῷ Ἀθηνᾶς, τοὺς μὲν ἀρίστους πειθοῖ κατέχει. τῶν δὲ στρατιωτῶν, πικρῶς καθάπτεται. παύει δὲ καὶ Θερσίτην ἀμέσως πρὸς τὸν βασιλέα στασιάζοντα καὶ τοὺς Ἕλληνας μένειν, καὶ τὴν Ἴλιον ἑλεῖν προτρέπει. συμβουλεύσαντος δὲ καὶ Νέστορος τὰ αὐτά, Ἀγαμέμνων θύσας τῷ Διί, τοὺς γέροντας ἑστιᾷ. καὶ προτρεψάμενος τοὺς Ἕλληνας, ἐπὶ τὸν πόλεμον ἐξάγει ἅπαντας. ἑξῆς δέ ἐστιν ὁ κατάλογος τῶν νεῶν, ἐφ' ὧν ἦλθον οἱ Τρῶες, καὶ οἱ Ἕλληνες, καὶ τῶν ἐπικούρων, καὶ τῶν ἡγεμόνων αὐτῶν.